Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ δεσποτικὴ ἑορτὴ ἐν κυριακῇ. Ἤγουν ἡ ὕψωσις τοῦ σταυροῦ. τῶν Χριστοῦ γεννῶν. τῶν θεοφανίων. τῆς πεντηκοστῆς. καὶ τῆς μεταμορφώσεως, οὐδὲν τῶν ἀναστασίμων, ψάλλομεν. Εἰ μὴ μόνον, τῶν στιχολογιῶν, τῶν τριῶν καθισμάτων. Οὔτε καταβασίαν, οὔτε ἀναβαθμούς, τοῦ ἤχου λέγομεν. Οὔτε ἄμωμον στιχολογοῦμεν. Οὔτε τὸ ἅγιος κύριος ὁ θεός. Οὔτε εὐαγγέλιον ἀναστάσιμον. Οὔτε τὸ ἀνάστασιν Χριστοῦ. Εἰ μὴ μόνον προσκυνοῦμεν τὸ εὐαγγέλιον. Τὰ δὲ ἄλλα πάντα, τῆς ἑορτῆς λέγονται.

## Περὶ τῆς ἀποδόσεως τῶν δεσποτικῶν ἑορτῶν. Κεφα. ξβ΄.

Χρὴ εἰδέναι, τὸ πῶς ἀποδίδονται αἱ δεσποτικαὶ ἑορταί, ἤγουν. Ἡ γέννησις τῆς θεοτόκου. Ἡ ὕψωσις τοῦ τιμίου σταυροῦ. Ἡ γέννησις τοῦ κυρίου. Ἡ βάπτισις αὐτοῦ. Ἡ ὑπαπαντή. Ἡ ἀνάληψις. Ἡ πεντηκοστή. Ἡ μεταμόρφωσις. Καὶ ἡ κοίμησις τῆς θεοτόκου. Ἑσπέρας μετὰ [illegible] στιχολογίαν. Εἰς τὸ κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄. Καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς. Δόξα, καὶ νῦν, ἰδιόμελον τῆς ἑορτῆς. Προκείμενον τῆς ἑορτῆς. ἄνευ εἰσόδου, καὶ τῶν ἀναγνωσμάτων. Εἰς τὸν στίχον στιχηρὰ τῆς ἑορτῆς, μετὰ τῶν στίχων αὐτῶν. Δόξα, καὶ νῦν, ἰδιόμελον τῆς ἑορτῆς. Ἐν τῷ ὄρθρῳ, εἰς τὸ θεὸς [illegible] τροπάριον τῆς ἑορτῆς, ἐκ γ΄. Εἰς τὰ [illegible] τῆς στιχολογίας καὶ τῆς ἑορτῆς. Ἐν δὲ τῇ ἀποδόσει τῆς γεννήσεως τῆς θεοτόκου, ὁ β΄ κανών, ἄνευ εἱρμῶν, εἰς ς΄. Ὡσαύτως καὶ τῆς ἀναλήψεως. Καὶ τῆς μεταμορφώσεως. Οἱ κανόνες, εἰ μέν ἐστιν εἷς, εἱρμός, δίς. Καὶ τὰ τροπάρια ιβ΄. Καταβασία τῶν εἱρμῶν τῆς ἑορτῆς, ὁμοῦ οἱ δύο χοροί. Εἰ δὲ εἰσὶν δύο κανόνες, ὁ α΄, κανὼν μετὰ τοῦ εἱρμοῦ, εἰς η΄. Ὁ δεύτερος μετὰ τοῦ εἱρμοῦ, εἰς ς΄. Καταβασία τὸν εἱρμὸν τοῦ α΄, κανόνος. Ὁμοῦ οἱ δύο χοροί. Πλὴν τῆς γεννήσεως τῆς θεοτόκου. Ἐν αὐτῇ γὰρ καταβασίαν λέγομεν. Σταυρὸν χαράξας μωσῆς, ὡς καὶ ἐν τῇ ἡμέρᾳ τῆς αὐτῆς ἑορτῆς. Ὁμοίως καὶ ἐν τῇ ἀναληψίμῳ, καὶ ἐν τῇ πεντηκοστῇ, καταβασία. Θείῳ καλυφθείς. Ὡσαύτως καὶ ἐν τῇ μεταμορφώσει καταβασίαν. Σταυρὸν χαράξας καὶ τῆς θεοτόκου. Ἀνοίξω τὸ στόμα μου λέγομεν. Ἀπὸ γ΄, ᾠδῆς, κάθισμα τῆς ἑορτῆς. Ἀφ' ἕκτης κοντάκιον, καὶ ὁ οἶκος. Ἐν τῇ θ΄, τιμιωτέρα οὐ στιχολογεῖται. Ἐξαποστειλάριον τῆς ἑορτῆς, δίς. Εἰς τοὺς αἴνους, πᾶσα πνοή. στιχηρὰ τῆς ἑορτῆς, εἰς δ΄. Δόξα, καὶ νῦν, ἰδιόμελον τῆς ἑορτῆς. Δοξολογία μεγάλη. Μετὰ τὸ τρισάγιον, τροπάριον τῆς ἑορτῆς. Ἡ ἐκτενής. ἡ κατήχησις. Καὶ ἀπόλυσις. Ἡ δὲ λιτὴ καὶ ἡ α΄, ὥρα, ἐν τῷ νάρθηκι. Εἰς τὴν λειτουργίαν τυπικά. ἐν τοῖς μακαρισμοῖς. Εἰ μέν ἐστιν εἷς κανών, ἡ γ΄, ᾠδή, μετὰ εἱρμοῦ, εἰς ς΄. Εἰ δὲ δύο κανόνες εἰσίν, αἱ δύο μετὰ τῶν εἱρμῶν, εἰς η΄. τροπάριον τῆς ἑορτῆς. Δόξα, καὶ νῦν, τὸ κοντάκιον τῆς ἑορτῆς. Προκείμενον, ἀλληλουιάριον, καὶ κοινωνικόν, τῆς ἑορτῆς. Ἀπόστολον, καὶ εὐαγγέλιον, τῆς ἡμέρας. Εἰ δὲ ἐστὶν ἡ γέννησις τῆς θεοτόκου, ἡ εἴσοδος, ἡ ἡ κοίμησις, λέγε τὸ προκείμενον, καὶ ἀλληλούϊα, καὶ κοινωνικόν, τῆς ἑορτῆς. Ἀπόστολον, καὶ εὐαγγέλιον,

λιον, πρῶτον τῆς ἡμέρας. Εἶτα τῆς ἑορτῆς.

## Περὶ τῆς ἀποδόσεως τῶν δεσποτικῶν ἑορτῶν, εἰ τύχωσιν ἐν κυριακῇ. Κεφάλαιον, ξε΄.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ ἀπόδοσις τῶν δεσποτικῶν ἑορτῶν, ἐν κυριακῇ. Ἀρχόμενα τῶν Χριστοῦ γεννῶν τῆς ἑορτῆς, καὶ τοῦ εὐαγγελισμοῦ, καὶ τῆς εἰσόδου τῆς ὑπεραγίας Θεοτόκου. Ἐν τῷ μικρῷ ἑσπερινῷ, μετὰ τὴν συνήθη στιχολογίαν. Εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρὰ ἀναστάσιμα, τρία. Καὶ ἀνατολικὸν, ἕν. Καὶ τῆς ἑορτῆς, ϛ΄. Δόξα τῆς ἑορτῆς. Καὶ νῦν, θεοτοκίον, τὸ, α΄, τοῦ ἤχου. Εἰς τὴν λιτὴν, τὸ στιχηρὸν τοῦ ἁγίου τῆς μονῆς, καὶ τῆς ἑορτῆς. Εἰς τὸν στίχον τὸ ἀναστάσιμον στιχηρὸν τοῦ στίχου, καὶ τῆς κατὰ, αβ΄. Δόξα, καὶ νῦν, τῆς ἑορτῆς. Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων, τροπάριον, Θεοτόκε παρθένε, δίς. Δόξα, καὶ νῦν, τῆς ἑορτῆς. Εἰς τὰ καθίσματα, τῆς στιχολογίας, καθίσματα τοῦ ἤχου ἀναστάσιμα μετὰ τῶν θεοτοκίων αὐτῶν. Ὁ ἄμωμος. Ἡ ὑπακοὴ τοῦ ἤχου. Οἱ ἀναβαθμοὶ τοῦ ἤχου. Προκείμενον. Πᾶσα πνοή. Καὶ εὐαγγέλιον. Τὸ ἀναστάσιμον στιχηρόν. Εἰς τὴν γέννησιν τῆς ὑπεραγίας Θεοτόκου. Εἰς τὴν ἀνάληψιν, τοῦ Κυρίου. Εἰς τὴν μεταμόρφωσιν. Ὁ, α΄, κανὼν μετὰ τῶν εἱρμῶν, εἰς, δ΄. Οἱ κανόνες οἱ ἀναστάσιμοι, εἰς, δ΄. Τῆς Θεοτόκου, β΄. Καὶ τῆς ἑορτῆς μετὰ τῶν εἱρμῶν, εἰς, η΄. Ἀπὸ, γ΄, καθίσματα τῆς ἑορτῆς. Ἀπὸ ἕκτης, κοντάκιον, καὶ οἶκον τῆς ἑορτῆς. Εἰς τὴν ἐννάτην ᾠδὴν, στιχολογεῖται ἡ τιμιωτέρα. Ἐξαποστειλάριον τὸ ἀναστάσιμον καὶ τῆς ἑορτῆς.

Εἰς τοὺς αἴνους στιχηρὰ ἀναστάσιμα, δ΄. Καὶ τῆς ἑορτῆς, γ΄. Καὶ τὸ ἰδιόμελον, τὸ, εἰς τὸ δόξα, μετὰ τῶν στίχων τῆς ἑορτῆς. Δόξα, τὸ ἑωθινόν. Καὶ νῦν, ὑπερευλογημένη. Δοξολογία μεγάλη. Καὶ μετὰ τὸ τρισάγιον, τροπάριον τὸ ἀναστάσιμον μόνον. Ἡ ἐκτενή. Ἡ κατήχησις, καὶ ἀπόλυσις. Ἡ προοιμιακὴ λιτή. Καὶ ἡ, α΄, ὥρα ἐν τῷ νάρθηκι. Ἐν ταῖς ὥραις, τροπάριον τὸ ἀναστάσιμον. Δόξα, τῆς ἑορτῆς. Καὶ νῦν, τὰ θεῖα τῶν ὡρῶν. Εἰς τὸ τρισάγιον αὐτῶν, τὸ κοντάκιον τῆς ἑορτῆς. Εἰς τὴν λειτουργίαν, οἱ μακαρισμοὶ τοῦ ἤχου, εἰς, ϛ΄. Καὶ τῆς ἑορτῆς ἡ, γ΄, ᾠδὴ, τοῦ, α΄, κανόνος, εἰς δ΄. Τροπάριον τὸ ἀναστάσιμον καὶ τῆς ἑορτῆς. Δόξα, καὶ νῦν, τὸ κοντάκιον τῆς ἑορτῆς. Προκείμενον τοῦ ἤχου καὶ τῆς ἑορτῆς, εἰ ἔστι τῆς Θεοτόκου. Ἀρχόμενα ἀπὸ τοῦ εὐαγγελισμοῦ καὶ τῆς ὑπαπαντῆς. Ἀλληλουϊάριον, τῆς ἡμέρας, καὶ τῆς ἑορτῆς. Εἰ δ' ἔστι τῆς Θεοτόκου. Ἀρχόμενα ἀπὸ τοῦ εὐαγγελισμοῦ, καὶ τῆς ὑπαπαντῆς. Κοινωνικὸν, τῆς ἑορτῆς, καὶ τῆς ἡμέρας. Εἰ δὲ ἔστιν ἀπόδοσις, δεσποτικῆς ἑορτῆς. Ἤγουν, τοῦ τιμίου σταυροῦ. Τῶν Χριστοῦ γεννῶν. Τῶν ἁγίων θεοφανείων. Τῆς ὑπαπαντῆς. Τῆς ἀναλήψεως. Τῆς πεντηκοστῆς. Ἢ τῆς μεταμορφώσεως, οὐ λέγεται ἀπόστολος, καὶ εὐαγγέλιον τῆς ἑορτῆς. Ἀλλὰ προκείμενον. Καὶ ἀλληλουϊάριον, καὶ κοινωνικὸν μόνον. Ἀπόστολον δὲ, καὶ εὐαγγέλιον, τῆς ἡμέρας.

## Περὶ τῆς ἀποδόσεως τῶν ἑορτῶν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου. Κεφάλαιον, ξϛ΄.

Χρὴ εἰδέναι, ὅτι ἐν ταῖς ἀποδόσεσι τῶν ἑορτῶν τῆς ὑπεραγίας θεοτόκου· ἤγουν, τῆς γεννήσεως· τῆς εἰσόδου· καὶ τῆς κοιμήσεως, εἰς τὴν λειτουργίαν. Προκείμενον. ἀλληλουϊάριον. Ἀπόστολον. εὐαγγέλιον. Καὶ κοινωνικόν, τῆς ἑορτῆς μετὰ τῆς ἡμέρας λέγεται. Ἐν δὲ τῇ ἀποδόσει τῶν ἄλλων δεσποτικῶν ἑορτῶν, οὐ λέγεται ἀπόστολον καὶ εὐαγγέλιον, ἐν τῇ λειτουργίᾳ τῆς ἑορτῆς. Ἀλλὰ προκείμενον, καὶ ἀλληλουϊάριον, καὶ κοινωνικὸν μόνον. Ἀπόστολον δέ, καὶ εὐαγγέλιον, τῆς ἡμέρας.

## Περὶ τῶν δεσποτικῶν προεορτίων καὶ μεθεόρτων, εἰ τύχωσιν ἐν κυριακῇ. Κεφάλαιον, ξέ.

Χρὴ εἰδέναι, ὅτι εἰς τὰ προεόρτια καὶ μεθέορτα τῶν δεσποτικῶν ἑορτῶν, εἰ τύχωσιν ἐν κυριακῇ. Εἰς τὸν μικρὸν ἑσπερινόν, ἀναστάσιμα, καὶ τῆς θεοτόκου ὡς σύνηθες. Ἐν δὲ τῷ μεγάλῳ ἑσπερινῷ μετὰ τὴν συνήθη στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ ἀναστάσιμα, γ΄. Ἀνατολικὸν ἕν. Τῆς ἑορτῆς, γ΄. ἅπερ εἴπομεν, εἰς τὸ Κύριε ἐκέκραξα, ἐν τῇ, α΄, ἡμέρᾳ τῆς ἑορτῆς. Καὶ τοῦ μηναίου, γ΄. Δόξα, ὅπερ ἐδοξάσαμεν, εἰς τὸ Κύριε ἐκέκραξα τῆς ἑορτῆς. Εἰ δὲ ἔχει ὁ ἅγιος, δόξα, τὸ στιχηρὸν τοῦ ἁγίου. Καὶ νῦν, θεοτοκίον, τὸ, α΄, τοῦ ἤχου. Εἰς τὴν λιτήν. τὸ στιχηρὸν τοῦ ἁγίου τῆς μονῆς, καὶ τῆς ἑορτῆς. Εἰς τὸν στίχον τὸ ἀναστάσιμον στιχηρὸν τοῦ ἤχου, καὶ ἀνατολικὰ α΄ β΄. Δόξα, τοῦ ἁγίου εἰ ἔχει. καὶ νῦν, τῆς ἑορτῆς. Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων, τὸ Θεοτόκε παρθένε, ἐκ γ΄. Εἰς τὸ Θεὸς Κύριος, τὸ ἀναστάσιμον τροπάριον, δίς. Δόξα τοῦ ἁγίου, εἰ ἔχει. καὶ νῦν, τῆς ἑορτῆς. Εἰς τὰ καθίσματα τῆς στιχολογίας, καθίσματα ἀναστάσιμα μετὰ τῶν θεοτοκίων αὐτῶν. Ὁ ἄμωμος. ἡ ὑπακοὴ τοῦ ἤχου. Ὁ πολυέλεος, τοῦ ἁγίου εἰ ἔχει. Ἔπειτα καθίσματα τοῦ ἁγίου. Δόξα, καὶ νῦν, θεοτοκίον, τὸ, α΄, τοῦ αὐτοῦ ἤχου. Προκείμενον, καὶ εὐαγγέλιον ἀναστάσιμον. Ὁ, ν΄. τὸ ἀναστάσιμον στιχηρόν. Οἱ κανόνες, ὁ ἀναστάσιμος, εἰς, δ΄. Καὶ τῆς θεοτόκου, β΄. Τῆς ἑορτῆς, δ΄. Καὶ τοῦ ἁγίου, δ΄. Ἀπὸ, γ΄, ᾠδῆς, κοντάκιον τοῦ ἁγίου εἰ ἔχει, ἢ τὰ καθίσματα τοῦ ἁγίου. Δόξα, τοῦ ἁγίου. καὶ νῦν, τῆς ἑορτῆς. Ἀπὸ ϛ΄ ᾠδῆς. κοντάκιον, τῆς ἑορτῆς. Ἐν τῇ, θ΄, ᾠδῇ στιχολογεῖται ἡ τιμιωτέρα. Ἐξαποστειλάριον, τὸ ἀναστάσιμον, καὶ τοῦ ἁγίου εἰ ἔχει, καὶ τῆς ἑορτῆς, εἰ δὲ μή, τὸ ἀναστάσιμον, καὶ τῆς ἑορτῆς. Εἰς τοὺς αἴνους, στιχηρὰ ἀναστάσιμα, δ΄. Καὶ τοῦ ἁγίου εἰ ἔχει προσόμοια γ΄ καὶ τὸ ἰδιόμελον αὐτοῦ. Εἰς τὸ δόξα, μετὰ τῶν στιχηρῶν αὐτῶν. Εἰ εἰσὶ προσόμοια λέγονται τά, γ΄, καὶ τὸ ἰδιόμελον. Εἰ δὲ μὴ τά, δ΄, τῆς ἑορτῆς, τὰ εἰς τοὺς αἴνους. Δόξα, τὸ ἑωθινόν. καὶ νῦν, Ὑπερευλογημένη. Δοξολογία μεγάλη. Μετὰ τὸ τρισάγιον, τροπάριον τὸ ἀναστάσιμον, μόνον. Ἡ ἐκτενή. ἡ κατήχησις, καὶ ἀπόλυσις. Ἡ συνήθης λιτή. ἡ, α΄, ὥρα ἐν τῷ νάρθηκι. Ἐν ταῖς ὥραις, ἐν μὲν τῇ, α΄, τὸ ἀναστάσιμον τροπάριον. Δόξα, τῆς ἑορτῆς. καὶ νῦν, θ΄, τῆς ὥρας. Εἰς τὸ τρισάγιον, τὸ κοντάκιον τῆς ἑορτῆς. Ἐν δὲ τῇ ἑτέρᾳ, τροπάριον ἀναστάσιμον. Δόξα, τοῦ ἁγίου εἰ ἔχει. Καὶ νῦν, θεοτοκίον τῆς ὥρας. Μετὰ τὸ τρισάγιον, κοντάκιον τῆς ἑορτῆς. Ὡσαύτως καὶ ταῖς λοιπαῖς ὥραις, τὸ οὖν

ἀναστα-

ἀναστασίμου, τοῦ [illegible] λεγομένου. Καὶ τοῦ κοντακίου τῆς ἑορτῆς. τῶν ἑτέρων τροπαρίων ἐναλλασσομένων, καθὼς προδεδήλωται. Εἰς τὴν λειτουργίαν οἱ μακαρισμοὶ τοῦ ἤχου, εἰς, ϛ΄. Καὶ ἡ τῆς ἑορτῆς, ἐνορθρίμου τυχοῦσα, ᾠδῆς, εἰς, δ΄. Εἰ δὲ ἔστιν ὁ ἅγιος ᾠδήν, τὰ ἀναστάσιμα, δ΄. Τῆς ἑορτῆς, δ΄. καὶ τοῦ ἁγίου, δ΄. Τοῦ πρώτου τὸ ἀναστάσιμον, Καὶ τοῦ ἁγίου εἰ ἔχει. Εἰ δὲ μή, δόξα, καὶ νῦν, τῆς ἑορτῆς. Προκείμενον, ἀπόστολον, Ἀλληλούια, εὐαγγέλιον, καὶ κοινωνικόν, Τῆς ἡμέρας. Καὶ τοῦ ἁγίου εἰ ἔχει. Εἰ δὲ μὴ τῆς ἡμέρας. Αὕτη ἡ ἀκολουθία, ὀφείλει ψάλλεσθαι, καὶ ὅτε εἰσὶ μεθέορτα ἐν κυριακῇ. Καὶ ἑορτάζεται καὶ ὁ ἅγιος, εἰς, ϛ΄.

Περὶ προεορτίων καὶ μεθεόρτων λεγομένων ἐν κυριακῇ, ἀντὶ τῆς ὑπακοῆς καὶ τοῦ ἤχου. Κεφ. ξϛ΄.

Χρὴ εἰδέναι, εἰς τὰ μεθέορτα καὶ προεόρτια τῶν δεσποτικῶν ἑορτῶν, Ἐν ταῖς ὥραις τῆς κυριακῆς. Μετὰ τὸ τρισάγιον, οὐ λέγομεν τὴν ὑπακοὴν τοῦ ἤχου. Ἀλλὰ τὸ προεόρτιον κοντάκιον, ἢ τῆς ἑορτῆς.

Περὶ προεορτίων καὶ μεθεόρτων κανόνων, πῶς ψάλλονται μετὰ τῶν ἐν τῷ μηναίῳ ἁγίων. Κεφ. ξζ΄.

Χρὴ εἰδέναι, ὅτι εἰς τὰ προεόρτια τῶν Χριστοῦ γεννῶν καὶ τῶν φώτων, Καὶ εἰς τὰ μεθέορτα τῶν δεσποτικῶν ἑορτῶν, ἐὰν τύχωσι δύο ἅγιοι, ψάλλεται ὁ κανὼν τῆς ἑορτῆς, μετὰ τῶν εἱρμῶν, εἰς ϛ΄. Καὶ τῶν ἁγίων, εἰς, δ΄. Εἰ δὲ τύχῃ εἷς ἅγιος, τῆς ἑορτῆς, μετὰ τῶν εἱρμῶν, εἰς, η΄. Καὶ τοῦ ἁγίου, εἰς, δ΄. Εἰ δὲ ἑορτάζεται ὁ ἅγιος, εἰς, ϛ΄. Ὁ κανὼν τῆς ἑορτῆς, εἰς, δ΄. Καὶ τοῦ ἁγίου, εἰς, ϛ΄.

Περὶ δύο ἁγίων ἐχόντων κοντάκια, πῶς ὀφείλουσι λέγεσθαι ἂν τύχωσιν ὁμοῦ μετὰ τῶν προεορτίων ἢ μεθεόρτων κοντακίων. Κεφ. ξη΄.

Χρὴ εἰδέναι, ὅτι ἐὰν τύχωσιν εἰς τὰ προεόρτια, καὶ μεθέορτα, δύο ἅγιοι ἔχοντες κοντάκια δύο. Λέγονται τὸ α΄, ἀπὸ, γ΄, ᾠδῆς. Καὶ τὸ ἕτερον, ἀφ᾽ ἕκτης. Τὸ δὲ προεόρτιον, ἢ τῆς ἑορτῆς, καταλιμπάνεται.

Περὶ προεορτίων καὶ μεθεόρτων, ἂν τύχωσι μετὰ δύο ἁγίων ἐν κυριακῇ. Κεφάλαιον, ξθ΄.

Χρὴ εἰδέναι, ὅτι ἐὰν τύχωσιν ἐν κυριακῇ προεόρτια ἢ μεθέορτα καὶ δύο ἅγιοι, καταλιμπάνεται ὁ εἷς. Καὶ ψάλλονται τὰ ἀναστάσιμα τῆς ἑορτῆς καὶ τοῦ ἑνὸς ἁγίου. Ὁ δὲ καταλειφθεὶς ἅγιος ψάλλεται, ὅταν θέλῃ ὁ ἐκκλησιάρχης.

Περὶ προεορτίων καὶ μεθεόρτων, ἂν τύχωσι μετὰ τοῦ ἁγίου, ἔχοντος λειτουργίαν ἐν σαββάτῳ. Κεφ. ο΄.

Χρὴ εἰδέναι, ὅτι ἐὰν τύχωσιν ἐν σαββάτῳ προεόρτια, ἢ μεθέορτα, καὶ ἁγίου λειτουργία, καὶ δόξα. εἰς τὴν λειτουργίαν ἐν τοῖς μακαρισμοῖς, τῆς ἑορτῆς, δ΄. καὶ τοῦ ἁγίου, δ΄. εἰ δὲ οὐκ ἔστιν ὁ ἅγιος, τῆς ἑορτῆς, δ΄ καὶ οἱ μακαρισμοὶ τοῦ ἤχου, δ΄. τροπάριον τοῦ ἁγίου, καὶ νεκρώσιμον. δόξα, κοντάκιον τοῦ ἁγίου, καὶ νῦν, τῆς ἑορτῆς. προκείμενον. ἀπόστολον. ἀλληλούϊα. εὐαγγέλιον, καὶ, κοινωνικὸν. πρῶτον τοῦ ἁγίου. εἶτα νεκρώσιμον.

## Περὶ τῆς λειτουργίας τοῦ σαββάτου. Κεφάλαιον, οα΄.

Εἰ δὲ οὐκ ἔχει λειτουργίαν ὁ ἅγιος, τῆς ἑορτῆς ἡ ᾠδή, εἰς, δ΄. καὶ οἱ μακαρισμοὶ τοῦ ἤχου, δ΄. τροπάριον, ἀπόστολοι μάρτυρες. μνήσθητι κύριε ὡς ἀγαθός. δόξα, μετὰ τῶν ἁγίων. καὶ νῦν, θ΄. σὲ καὶ τεῖχος. προκείμενον. εὐφράνθητε. στίχος. μακάριοι ὧν. νεκρώσιμον. αἱ ψυχαὶ αὐτῶν ἐν. ἀπόστολον τῆς ἡμέρας, καὶ νεκρώσιμον. ἀλληλούϊα. ἐκέκραξαν οἱ δίκαιοι, νεκρώσιμον. μακάριοι οὓς ἐξελέξω. εὐαγγέλιον τῆς ἡμέρας. κοινωνικόν. ἀγαλλιᾶσθε δίκαιοι ἐν κυρίῳ. καὶ μακάριοι οὓς ἐξελέξω.

## Περὶ τοῦ πότε οὐ στιχολογοῦμεν τῷ κυρίῳ ᾄσωμεν. Κεφά. οβ΄.

Χρὴ εἰδέναι, ὅτι εἰς τὰ προεόρτια τῆς Χριστοῦ γεννήσεως. καὶ τῶν ἁγίων θεοφανείων. εἰς τὰς δεσποτικὰς ἑορτάς. καὶ εἰς τὰ μεθέορτα αὐτῶν. καὶ εἰς τὴν ἑορτὴν ἔχουσαν πολυέλεον. καὶ εἰς τὴν, α΄, καὶ τὴν, ιγ΄, τοῦ σεπτεβρίου μηνός. καὶ εἰς τὴν, η΄, τοῦ νοεβρίου. καὶ εἰς τὴν, α΄, τοῦ ἰαννουαρίου. καὶ εἰς τὴν εὕρεσιν τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου. καὶ ἐν τῇ πεντηκοστῇ. τὸ τῷ κυρίῳ ᾄσωμεν, οὐ στιχολογοῦμεν. ἀλλὰ μόνον τῷ σαββάτῳ τῶν ψυχῶν. τότε γὰρ στιχολογοῦμεν τῷ κυρίῳ ᾄσωμεν.

## Περὶ τοῦ, τῷ κυρίῳ ᾄσωμεν, πότε στιχολογεῖται. Κεφά. ογ΄.

Γνωστέον ὅτι, οὐ σχολάζουσιν οἱ στίχοι οὓς ψάλλομεν τῇ κυριακῇ, πώποτε. πλὴν τῇ μεγάλῃ κυριακῇ, καὶ πάσῃ τῇ διακαινησίμῳ ἑβδομάδι. τοῦτο δὲ ὃ λέγομεν, τῷ κυρίῳ ᾄσωμεν οὐ λέγομεν. οὐ μόνον ἐν ὅλῃ τῇ, μ΄, οὐ ψάλλομεν αὐτό. ἀλλ' οὐδ' ἐν μιᾷ ἑτέρᾳ τῶν δεσποτικῶν ἑορτῶν. ἢ ἁγίου μεγάλου μνήμῃ. ὅταν δηλονότι, ψάλλομεν εἰς τὴν ὀκτώηχον.

Περὶ δὲ τοῦ, τῷ κυρίῳ ᾄσωμεν, πῶς ψάλλεται, ἄκουε. ὅταν ψάλλεται ἡ ὀκτώηχος, ἄρχεται ὁ, α΄, χορὸς λέγειν πρὸς τὸν ἦχον τῆς ὀκτωήχου. τῷ κυρίῳ ᾄσωμεν ἐνδόξως γὰρ δεδόξασται. ἵππον καὶ ἀναβάτην ἔρριψεν. εἶτα ὁ ἕτερος χορός. βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι. καὶ αὖθις ὁ, α΄, χορός. κύριος συντρίβων πολέμους. καὶ καθεξῆς οἱ δύο χοροί, ἕκαστος τὸν οἰκεῖον στίχον, ἕως ἂν φθάσωσι τό, ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα. καὶ ψάλ-

λουσι

λουσι σὺν τῷ εἱρμῷ, εἰς τὰ ι δ΄.

## Περὶ τοῦ πότε οὐ στιχολογεῖται ἡ τιμιωτέρα. Κεφάλαιον, οδ΄.

Χρὴ εἰδέναι, ὅτι ἡ τιμιωτέρα, στιχολογεῖται πάντοτε. Καὶ εἰς τὰ προεόρτια, καὶ εἰς τὰ μεθέορτα. Καὶ ἐν ταῖς κυριακαῖς δι' ὅλου τοῦ ἐνιαυτοῦ. Οὐ στιχολογεῖται δὲ ἐν ταῖς δεσποτικαῖς ἑορταῖς. Ἤγουν ἐν τῇ γεννήσει τῆς θεοτόκου. Καὶ ἐν τῇ ἀποδόσει αὐτῆς. Ἐν τῇ ὑψώσει τοῦ σταυροῦ, καὶ ἐν τῇ εἰσόδῳ τῆς θεοτόκου, καὶ ἐν τῇ ἀποδόσει αὐτῆς. Ἐν τῇ γεννήσει τοῦ Χριστοῦ, καὶ τῇ ἐπαύριον, ἤγουν τῇ [illegible] τοῦ δεκεμβρίου. Καὶ ἐν τῇ ἀποδόσει αὐτοῦ. Ἐν τῇ τοῦ μεγάλου Βασιλείου μνήμῃ, καὶ ἐν τῇ τῶν φώτων. Καὶ τῇ ἐπαύριον, τῇ ζ΄, τοῦ ἰαννουαρίου, καὶ ἐν τῇ ἀποδόσει αὐτῆς. Ἐν τῇ ὑπαπαντῇ. Καὶ ἐν τῇ ἀποδόσει αὐτῆς. Καὶ ἀπὸ τοῦ σαββάτου τοῦ Λαζάρου, μέχρι τῆς κυριακῆς τοῦ Θωμᾶ. Καὶ ἐν ταῖς κυριακαῖς τῆς πεντηκοστῆς, ἄχρι μιᾶς τῆς κυριακῆς τῶν ἁγίων πάντων. Ἐν τῇ μεσοπεντηκοστῇ. Καὶ ἐν τῇ δ΄, πρὸ τῆς ἀναλήψεως, καὶ ἐν τῇ ἑορτῇ τῆς ἀναλήψεως. Καὶ ἐν τῇ ἀποδόσει αὐτῆς. Ἐν τῇ μεταμορφώσει, καὶ ἐν τῇ ἀποδόσει αὐτῆς. Ἐν τῇ κοιμήσει τῆς θεοτόκου, καὶ ἐν τῇ ἀποδόσει αὐτῆς. Εἰ μήπως τύχωσιν αἱ ἀποδόσεις καὶ αἱ ἑορταὶ τῆς θεοτόκου ἐν κυριακῇ.

## Περὶ τροπαρίων, προεορτίων καὶ μεθεόρτων καὶ τῶν ἁγίων· πῶς λέγονται καθ' ἡμέραν. Κεφάλαιον οε΄.

Χρὴ εἰδέναι, ὅτι καθ' ἡμέραν ἐν τῇ ἑσπέρᾳ, εἰ εἰσὶ μεθέορτα, καὶ ἔχει ὁ ἅγιος τροπάριον, λέγομεν αὐτό. Δόξα, καὶ νῦν, τῆς ἑορτῆς. Εἰ δὲ εἰσὶ δύο ἅγιοι, πρῶτον τοῦ ἑνός, εἶτα δόξα, τοῦ ἑτέρου, καὶ νῦν, τῆς ἑορτῆς. Εἰ δὲ οὐκ εἰσὶ μεθέορτα, τροπάριον τοῦ ἁγίου. Δόξα, καὶ νῦν, θεοτοκίον, τῆς ἡμέρας. Ἐν τῷ ὄρθρῳ εἰς τὸ Θεὸς Κύριος, εἰ εἰσὶ μεθέορτα, τροπάριον τῆς ἑορτῆς, δίς. Δόξα, τοῦ ἁγίου εἰ ἔχει. Καὶ νῦν, τῆς ἑορτῆς. Εἰ δὲ μή, Δόξα, καὶ νῦν, τῆς ἑορτῆς. Εἰ δὲ εἰσὶ δύο ἅγιοι, ἔχοντες, τροπάρια, β΄. τῆς ἑορτῆς ἅπαξ. Καὶ τοῦ ἑνὸς ἁγίου, ἅπαξ. Δόξα, τοῦ ἑτέρου, καὶ νῦν, τῆς ἑορτῆς. Ὡσαύτως γίνεται καὶ εἰς τὰ προεόρτια. Εἰ δὲ οὐκ εἰσὶ μεθέορτα, καὶ εἰσὶ δύο ἅγιοι. Εἰς τὸ Θεὸς Κύριος λέγεται τοῦ ἑνός, δίς. Δόξα τοῦ ἑτέρου, καὶ νῦν, θεοτοκίον, τῆς ἡμέρας. Εἰ δὲ ἐστὶν εἷς ἅγιος, λέγεται τὸ τροπάριον αὐτοῦ, δίς. Δόξα, καὶ νῦν, τῆς ἡμέρας.

## Περὶ ἁγίων δύο ἐχόντων τροπάρια δύο. πῶς λέγονται ἐν κυριακῇ. Κεφάλαιον, οϛ΄.

Χρὴ εἰδέναι, ὡς εἰ τύχωσι δύο ἅγιοι ἐν κυριακῇ. Ἔχοντες τροπάρια δύο, εἰς τὸ Θεὸς Κύριος, τροπάριον τὸ ἀναστάσιμον ἅπαξ. Δόξα, τὸ τοῦ ἑτέρου ἁγίου. Καὶ νῦν, θεοτοκίον, τὸ α΄, τοῦ αὐτοῦ ἤχου. Ἐν ταῖς ὥραις, ἐν μὲν τῇ μιᾷ, λέγεται τὸ ἀναστάσιμον. Δόξα τοῦ ἑνὸς ἁγίου. Καὶ νῦν, θεοτοκίον, τῆς ὥρας. Ἐν δὲ τῇ ἑτέρᾳ, πάλιν τὸ ἀναστάσιμον. Δόξα τὸ τοῦ ἑτέρου ἁγίου. Καὶ νῦν, θεοτοκίον, τῆς ὥρας. Ὡσαύτως καὶ ἐν ταῖς λοιπαῖς ὥραις, λεγόμενον

πάντοτε τοῦ ἀναστασίμου τροπαρίου, τῶν τροπαρίων τοῦ ἁγίου ἀλλασσομένων.

## Περὶ προεορτίων καὶ μεθεόρτων τροπαρίων, εἰ τύχωσιν ἐν κυριακῇ, μετὰ ἁγίου ἔχοντος προφητείας. Κεφ. οζ'.

Χρὴ εἰδέναι, ὅτι ἐὰν τύχωσιν ἐν κυριακῇ προεόρτια, ἢ μεθέορτα, καὶ ἅγιος ἔχων τροπάριον. εἰς τὸ θεὸς κύριος προφητείας τὸ ἀναστάσιμον, δίς. Δόξα τοῦ ἁγίου. καὶ νῦν, τῆς ἑορτῆς. Ἐν δὲ ταῖς ὥραις. Ἐν μὲν τῇ μιᾷ, τὸ ἀναστάσιμον προφητείας. Δόξα, τῆς ἑορτῆς. καὶ νῦν, θεοτοκίον, τῆς ὥρας. Μετὰ τὸ τρισάγιον, κοντάκιον τῆς ἑορτῆς. Ἐν δὲ τῇ ἑτέρᾳ, πάλιν τὸ ἀναστάσιμον προφητείας. Δόξα τοῦ ἁγίου. καὶ νῦν, θ', τῆς ὥρας. Λεγομένου πάντοτε τοῦ ἀναστασίμου προφητείας. Καὶ τοῦ κοντακίου τῆς ἑορτῆς. Τῶν δὲ ἑτέρων τροπαρίων ἐναλλασσομένων.

## Περὶ ἁγίου ἔχοντος ἀγρυπνίαν, εἰ τύχῃ ἐν κυριακῇ. Κεφάλ. οη'.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἅγιος ἔχων ἀγρυπνίαν ἐν κυριακῇ. Ἐν τῷ μικρῷ ἑσπερινῷ, εἰς τὸ κύριε ἐκέκραξα, στιχηρὰ ἀναστάσιμα, δ', τοῦ ἤχου. Δόξα τοῦ ἁγίου. καὶ νῦν, θεοτοκίον, τὸ, α', τοῦ ἤχου. εἰς τὸν στίχον, τὸ ἀναστάσιμον στιχηρὸν τοῦ στίχου. Καὶ τὰ τρία τοῦ ἁγίου. εἰς τὸ στιχηρὸν λέγομεν μετὰ τῶν στίχων τοῦ ἁγίου. Δόξα τοῦ ἁγίου, καὶ νῦν, θεοτοκίον, τὸ, α', τοῦ ἤχου, εἰς τὸν στίχον, τὸ ἀναστάσιμον στιχηρὸν τοῦ στίχου, Καὶ τὰ, γ', τοῦ ἁγίου. εἰς τὸν στίχον λέγομεν μετὰ τῶν στίχων τοῦ ἁγίου. Δόξα, τοῦ ἁγίου. καὶ νῦν, θ'. εἰς τὸν αὐτὸν ἦχον, δογματικόν. Μετὰ τὸ τρισάγιον, προφητείας τὸ ἀναστάσιμον τοῦ ἤχου. Δόξα, τοῦ ἁγίου, καὶ νῦν, θ', τὸ, α', τοῦ αὐτοῦ ἤχου. Ἐν τῷ μεγάλῳ ἑσπερινῷ. Μετὰ τὸν στίχον τοῦ ψαλτηρίου, εἰς τὸ κύριε ἐκέκραξα. στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου, γ'. Ἀνατολικόν, α'. Καὶ τοῦ ἁγίου, ϛ'. Δόξα τοῦ ἁγίου, καὶ νῦν, θ'. τὸ, α', τοῦ αὐτοῦ ἤχου. Τὰ ἀναγνώσματα τοῦ ἁγίου. εἰς τὴν λιτήν, τὸ στιχηρὸν τοῦ ἁγίου τῆς μονῆς. Καὶ τοῦ ἁγίου στιχηρά. Δόξα τοῦ ἁγίου. καὶ νῦν, θεοτοκίον, τοῦ κατὰ, α β'. εἰς τὸν αὐτὸν ἦχον. εἰς τὸν στίχον στιχηρὰ ἀναστάσιμα τοῦ στίχου καὶ τὰ κατὰ α β', γ'. Δόξα τοῦ ἁγίου. καὶ νῦν, θεοτοκίον. τοῦ α β', εἰς τὸν αὐτὸν ἦχον. εἰς τὴν εὐλόγησιν τῶν ἄρτων, προφητείας, θεοτόκε παρθένε, δίς. Καὶ τοῦ ἁγίου, τὸ προφητείας, ἅπαξ. Ἡ ἀνάγνωσις εἰς τὰς ἐπιστολάς. Αἱ δὲ ἕτεραι, τοῦ ἁγίου. Ἐν τῷ ὄρθρῳ, εἰς τὸ θεὸς κύριος, προφητείας τὸ ἀναστάσιμον, δίς. Δόξα τοῦ ἁγίου. καὶ νῦν, θεοτοκίον, τὸ, α', τοῦ αὐτοῦ ἤχου. εἰς τὰ καθίσματα τῆς στιχολογίας, καθίσματα ἀναστάσιμα μετὰ τῶν θεοτοκίων αὐτῶν. Ὁ ἄμωμος. ὑπακοὴ τοῦ ἤχου. Ὁ πολυέλεος, καὶ καθίσματα τοῦ ἁγίου. Δόξα, καὶ νῦν, θεοτοκίον, τὸ, α', τοῦ αὐτοῦ ἤχου. Οἱ ἀναβαθμοί, προκείμενον. πᾶσα πνοή. εὐαγγέλιον ἀναστάσιμον, τὸ ἀνάστασιν Χριστοῦ. Ὁ ν', τὸ ἀναστάσιμον στιχηρόν. Οἱ κανόνες. Ὁ ἀναστάσιμος, εἰς, δ'. Τῆς θεοτόκου, εἰς, β'. Καὶ τοῦ ἁγίου, εἰς, η'. Καταβασία, εἰ ἔχει τὸ τυπικόν. Ἀπὸ, γ', ᾠδῆς, κάθισμα τοῦ ἁγίου. Δόξα, καὶ νῦν, θ'. τὸ, α', εἰς τὸν αὐτὸν ἦχον. Ἀπὸ δὲ ἕκτης κοντάκιον τοῦ ἁγίου. [illegible], θ', ᾠδῆς στιχολογεῖται ἡ τιμιωτέρα.

τιμιωτέρα. Ἐξαποστειλάριον τὸ ἀναστάσιμον, τοῦ ἁγίου. καὶ θεοτοκίον. Εἰς τοὺς αἴνους, πᾶσα πνοή. στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου, δ΄. Καὶ τοῦ ἁγίου, γ΄. Καὶ τὸ εἰς τὸ δόξα ἰδιόμελον μετὰ τῶν στίχων τοῦ ἁγίου. Δόξα, τὸ ἑωθινόν. καὶ νῦν, ὑπερευλογημένη ὑπάρχεις θεοτόκε παρθένε. Δοξολογία μεγάλη. Μετὰ τὸ τρισάγιον, ἀπόλυσις. Ἡ δὲ λιτή, καὶ ἡ α΄ ὥρα, ἐν τῷ νάρθηκι. Ἐν ταῖς ὥραις, τροπάριον τὸ ἀναστάσιμον. Δόξα, τοῦ ἁγίου. Καὶ νῦν, θεοτοκίον, τῆς ὥρας. Εἰς τὴν λειτουργίαν τυπικά. Οἱ ἀναστάσιμοι μακαρισμοὶ τοῦ ἤχου, ς΄. καὶ τοῦ ἁγίου. Δόξα, κοντάκιον τοῦ ἁγίου. Καὶ νῦν προσόμοιον, θεοτοκίον. Προκείμενον, ἀπόστολον, ἀλληλουϊάριον. Εὐαγγέλιον, καὶ κοινωνικόν. Πρῶτον τὸ ἀναστάσιμον. Εἶτα τοῦ ἁγίου.

## Περὶ ἁγίου ἔχοντος πολυέλεον, ἑορταζομένου, εἰς, ς΄, ἐὰν τύχῃ ἐν κυριακῇ. Κεφάλαιον, οθ΄.

Χρὴ εἰδέναι ὅτι ἐὰν τύχῃ ἐν κυριακῇ ἅγιος ἑορταζόμενος εἰς, ς΄. ἔχων πολυέλεον. Ἐν τῷ μικρῷ ἑσπερινῷ εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ ἀναστάσιμα, γ΄. Καὶ ἀνατολικά, γ΄. Καὶ τοῦ ἁγίου, δ΄. Δόξα, τοῦ ἁγίου, καὶ νῦν, θεοτοκίον, τὸ α΄, τοῦ αὐτοῦ ἤχου. Τὰ ἀναγνώσματα τοῦ ἁγίου. Εἰς τὴν λιτήν, τὸ στιχηρὸν τοῦ ἁγίου τῆς μονῆς. Καὶ τοῦ ἁγίου, εἰ ἔχει. Εἰ δὲ μή, τῆς θεοτόκου, δογματικὸν τοῦ ἤχου. Δόξα, τοῦ ἁγίου. καὶ νῦν, θεοτοκίον, τοῦ α΄ β΄, εἰς τὸν αὐτὸν ἦχον. Εἰς τὸν στίχον, στιχηρὰ ἀναστάσιμα τοῦ στίχου, Καὶ τὰ κατὰ

Τυπικ

ἀλφάβητον. δόξα, τοῦ ἁγίου. Καὶ νῦν, θεοτοκίον, τοῦ α΄ β΄. εἰς τὸν αὐτὸν ἦχον. Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων. τροπάριον, θεοτόκε παρθένε, δίς. Καὶ τοῦ ἁγίου, ἅπαξ. Ἡ ἀνάγνωσις εἰς τὰς ἐπιστολάς. Αἱ δὲ ἕτεραι ἀναγνώσεις, ἐκ τοῦ ἁγίου εἰ ἔχει. Εἰς τὰ καθίσματα τῆς στιχολογίας μετὰ τῶν θεοτοκίων τοῦ ἁγίου. Δόξα, τὸ τέλος. Καὶ νῦν, θεοτοκίον, τὸ α΄, εἰς τὸν αὐτὸν ἦχον. Οἱ ἀναβαθμοὶ τοῦ ἤχου. προκείμενον. πᾶσα πνοή. Καὶ εὐαγγέλιον ἀναστάσιμον. Τὸ ἀνάστασιν Χριστοῦ. Ὁ πεντηκοστός. στιχηρὸν ἀναστάσιμον. Οἱ κανόνες ὁ ἀναστάσιμος, εἰς, δ΄. τῆς θεοτόκου, εἰς, δ΄. Καὶ τοῦ ἁγίου, εἰς ς΄. Εἰ δὲ εἰσὶ δύο ἅγιοι, εἰς, η΄. Ἀπὸ γ΄, ᾠδῆς, κάθισμα τοῦ ἁγίου. Δόξα, καὶ νῦν, τὸ α΄, εἰς τὸν αὐτὸν ἦχον. Ἀπὸ ς΄ ᾠδῆς, κοντάκιον τοῦ ἁγίου. Ἐν τῇ ἐννάτῃ ᾠδῇ, στιχολογεῖται ἡ τιμιωτέρα. Ἐξαποστειλάριον τὸ ἀναστάσιμον. τοῦ ἁγίου, καὶ θεοτοκίον. Εἰς τοὺς αἴνους, πᾶσα πνοή. στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου, δ΄. Καὶ τοῦ ἁγίου, γ΄. Καὶ ἰδιόμελον τὸ εἰς τὸ δόξα, μετὰ τῶν στίχων τοῦ ἁγίου. Δόξα τὸ ἑωθινόν. καὶ νῦν, ὑπερευλογημένη ὑπάρχεις. Μετὰ τὸ τρισάγιον, τροπάριον, τὸ ἀναστάσιμον, καὶ μόνον. Ἡ ἐκτενής. ἡ κατήχησις, καὶ ἀπόλυσις. Ἡ συνήθης λιτή, καὶ ἡ πρώτη ὥρα ἐν τῷ νάρθηκι. Εἰς τὴν λειτουργίαν τυπικά. Οἱ ἀναστάσιμοι μακαρισμοὶ τοῦ ἤχου, εἰς, ς΄. καὶ τοῦ ἁγίου, ἡ γ΄, ᾠδή, εἰς δ΄. τροπάριον τὸ ἀναστάσιμον, καὶ τοῦ ἁγίου. Δόξα τοῦ ἁγίου. Καὶ νῦν, προκείμενον, θεοτοκίον. προκείμενον, ἀπόστολον, ἀλληλουϊάριον. Εὐαγγέλιον, καὶ κοινωνικόν. Τὸ ἀναστάσιμον, καὶ τοῦ ἁγίου.

y X

## Περὶ ἑορταζομένου ἁγίου, εἰς ϛʹ, ἐὰν τύχῃ ἐν κυριακῇ. Κεφάλαιον πʹ.

Χρὴ εἰδέναι, ὅτι ὅτε ἑορτάζεται ἅγιος, εἰς ϛʹ, εἰ τύχῃ ἐν κυριακῇ, καὶ οὐκ ἔχει πολυέλεον, ἐν τῷ μεγάλῳ ἑσπερινῷ, εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου, γʹ. Καὶ ἀνατολικά, γʹ. Καὶ τοῦ ἁγίου, δʹ. Δόξα τοῦ ἁγίου. καὶ νῦν, θεοτοκίον, τὸ αʹ, τοῦ αὐτοῦ ἤχου. Εἰς τὴν λιτὴν τὸ στιχηρὸν τοῦ ἁγίου τῆς μονῆς. Καὶ τοῦ ἁγίου ἦχ. εἰ ἔχει. Εἰ δὲ μή, τῆς θεοτόκου, δογματικὸν τοῦ ἤχου. Εἰς τὸν στίχον τὰ στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου τὰ κατὰ ἀλφάβητον. Δόξα, τοῦ ἁγίου. Καὶ νῦν, τοῦ, αβʹ. εἰς τὸν αὐτὸν ἦχον. Ἐν τῷ ὄρθρῳ εἰς τὸ θεὸς κύριος, τροπάριον τὸ ἀναστάσιμον, δίς. Δόξα, τοῦ ἁγίου. καὶ νῦν, θεοτοκίον, τὸ αʹ, εἰς τὸν αὐτὸν ἦχον. Καὶ ἡ λοιπὴ ἀκολουθία. Οἱ κανόνες, ὁ ἀναστάσιμος, εἰς δʹ. Καὶ τοῦ ἁγίου, εἰς ϛʹ. Καταβασία εἰ ἔχει τὸ τυπικόν. Ἀπὸ γʹ ᾠδῆς, κάθισμα τοῦ ἁγίου. Δόξα, καὶ νῦν, θεοτοκίον, τὸ αʹ, τοῦ αὐτοῦ ἤχου. Ἀφ' ἕκτης ᾠδῆς κοντάκιον τοῦ ἁγίου. Ἐξαποστειλάριον τὸ ἀναστάσιμον. Τοῦ ἁγίου, καὶ θεοτοκίον. Εἰς τοὺς αἴνους, πᾶσα πνοή. Στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου, δʹ. Καὶ τοῦ ἁγίου εἰ ἔχει, γʹ. Τὸ ἰδιόμελον αὐτοῦ εἰς τὸ δόξα μετὰ τὸν στίχον αὐτοῦ. Εἰ δὲ μή, τὰ ἀνατολικά. Δόξα τὸ ἑωθινόν. καὶ νῦν, ὑπερευλογημένη ὑπάρχεις θεοτόκε παρθένε. Δοξολογία μεγάλη. Μετὰ τὸ τρισάγιον, τροπάριον τὸ ἀναστάσιμον μόνον. Ἡ ἐκτενής, ἡ κατήχησις, καὶ ἀπόλυσις. Ἡ λοιπὴ λιτή, ἡ αʹ ὥρα ἐν τῷ νάρθηκι. Εἰς τὴν λειτουργίαν οἱ ἀναστάσιμοι μακαρισμοὶ τοῦ ἤχου, εἰς ϛʹ. Καὶ τοῦ ἁγίου, ἡ γʹ ᾠδή, εἰς δʹ. Τροπάριον, τὸ ἀναστάσιμον, Καὶ τοῦ ἁγίου. Δόξα, κοντάκιον τοῦ ἁγίου. καὶ νῦν, θεοτοκίον, προσόμοιον. Προκείμενον, ἀπόστολον, Ἀλληλουιάριον, εὐαγγέλιον, καὶ κοινωνικόν, τῆς ἡμέρας καὶ τοῦ ἁγίου.

## Περὶ τοῦ πῶς ψάλλονται οἱ κανόνες οἱ νεκρώσιμοι εἰς τὴν παννυχίδα. Κεφάλαιον, παʹ.

Χρὴ εἰδέναι, ὅτι τῇ παρασκευῇ ἑσπέρας, εἰς τὴν παννυχίδα, ψάλλονται τοῦ ἐρχομένου ἤχου τὸν νεκρώσιμον. Εἰ δὲ συμβῇ μὴ ψάλλεσθαι τὸν κανόνα, ἐν τῷ ὄρθρῳ τοῦ σαββάτου. Διὰ τὸ εἶναι προεόρτια, ἢ μεθέορτα, ἢ ἑορταζομένου ἁγίου, εἰς, ηʹ. ψάλλε αὐτὸν εἰς τὴν παννυχίδα τῆς παρασκευῆς.

## Περὶ τροπαρίων τῶν ἀποδείπνων, τῶν προεορτίων καὶ τῶν μεθεόρτων, καὶ τῶν ἁγίων, καὶ τῶν ἡμερῶν τῆς ἑβδομάδος. Κεφ. πβʹ.

Χρὴ εἰδέναι, ὅτι ἐν τοῖς ἀποδείπνοις, Μετὰ τὸ μεθ' ἡμῶν ὁ θεός. εἰς τὸ τρισάγιον, εἰ εἰσὶ μεθέορτα, ἢ προεόρτια, Καὶ ἔχει ὁ ἅγιος τροπάριον, λέγομεν πρῶτον τοῦ ἁγίου. Δόξα, τὸ προεόρτιον, ἢ καὶ μεθέορτον. Εἰ δὲ εἰσὶ δύο ἅγιοι, λέγομεν πρῶτον, τοῦ ἑνὸς τὸ τροπάριον. Δόξα, τὸ ἕτερον. Καὶ νῦν, προεόρτιον, ἢ μεθέορτον. Εἰ δὲ οὐκ ἔχει ὁ ἅγιος τῆς ἑορτῆς μόνης.

Εἰ δὲ

Εἰ οὐκ εἰσὶ μεθέορτα, λέγομεν τοῦ ἁγίου, πρὸ τοῦ, Δόξα, καὶ νῦν, θεοτοκίον τῆς ἡμέρας. Εἰ δὲ ἔστιν ἀλληλουΐα, λέγομεν τὰ τροπάρια, ἅπερ λέγει τὸ τυπικόν, ἤγουν τό, Φώτισον τοὺς ὀφθαλμούς μου Χριστὲ ὁ θεός. Καὶ τὰ λοιπά. Εἰς δὲ τὸ β΄ τρισάγιον, εἰ εἰσὶν προεόρτια, ἢ μεθέορτα, καὶ ἔχει ὁ ἅγιος δοξολογίαν, λέγε τὸ κοντάκιον αὐτοῦ. Εἰ δὲ οὔτε προεόρτια, ἢ μεθέορτα εἰσίν, οὔτε ἅγιος ἔχων δοξολογίαν, λέγε τὰ συνήθη τροπάρια. ἤγουν τό, Ἐλέησον ἡμᾶς κύριε ἐλέησον ἡμᾶς κύριε ἐλέησον ἡμᾶς, καὶ τὰ λοιπά. Ἐν δὲ τῷ τελευταίῳ τρισαγίῳ λέγομεν τὰ τροπάρια τῆς ἡμέρας τῆς ἑβδομάδος. ἤγουν τῇ β΄. Τῶν οὐρανίων στρατιῶν ἀρχιστράτηγοι. Τῇ τρίτῃ. Μνήμη δικαίου μετ᾽ ἐγκωμίων. Τῇ τετράδι, Σῶσον κύριε τὸν λαόν σου καὶ εὐλόγησον. Τῇ πέμπτῃ, Ἀπόστολοι ἅγιοι πρεσβεύσατε. Τῇ παρασκευῇ. Σῶσον κύριε τὸν λαόν σου καὶ τῆς μονῆς. Ὁ θεὸς τῶν πατέρων, ὁσίων. καὶ Τῶν ἐν ὅλῳ τῷ κόσμῳ μαρτύρων σου. Δόξα, Μετὰ τῶν ἁγίων ἀνάπαυσον Χριστέ. καὶ νῦν. Ταῖς πρεσβείαις κύριε πάντων τῶν ἁγίων, καὶ τῆς θεοτόκου. Τῇ παρασκευῇ ἐν τῷ τελευταίῳ τρισαγίῳ τῶν ἀποδείπνων, λέγομεν πρὸ τοῦ, Ἀπόστολοι μάρτυρες. Μνήσθητι κύριε ὡς ἀγαθὸς τῶν δούλων σου. Δόξα. Μετὰ τῶν ἁγίων ἀνάπαυσον Χριστέ. καὶ νῦν, Ταῖς πρεσβείαις κύριε πάντων τῶν ἁγίων. καὶ τῆς θεοτόκου.

## Περὶ τῶν τροπαρίων τῶν δεσποτικῶν ἑορτῶν, εἰ τύχωσι μονοῦ ἐν κυριακῇ. Κεφάλαιον, μγ΄.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχωσιν δύο δεσποτικαὶ ἑορταὶ ἐν κυριακῇ. Εἰς τὸ Θεὸς κύριος, πρὸ τοῦ τὸ ἀναστάσιμον, δίς. Δόξα, τῆς μιᾶς ἑορτῆς. Καὶ νῦν, τῆς ἑτέρας. Ἐν δὲ ταῖς ὥραις, ἐν μὲν τῇ μιᾷ, τὸ ἀναστάσιμον πρὸ τοῦ Δόξα, πρὸ τοῦ τῆς μιᾶς ἑορτῆς. καὶ νῦν, θεοτοκίον, τῆς ὥρας. Ὡσαύτως καὶ μετὰ τὸ τρισάγιον, τὸ κοντάκιον αὐτῆς. Ἐν δὲ τῇ ἑτέρᾳ τροπάριον ἀναστάσιμον. Δόξα, τῆς ἑτέρας ἑορτῆς. Καὶ νῦν, θεοτοκίον, τῆς ὥρας. Ὁμοίως καὶ τὸ κοντάκιον αὐτῆς. Ὡσαύτως γίνεται καὶ ἐν ταῖς ὥραις. [illegible] αὐτό τε λεγομένου τοῦ ἀναστασίμου τροπαρίου. Τῶν δὲ ἑτέρων τροπαρίων καὶ κοντακίων ἐναλλασσομένων, καθὼς προδεδήλωται.

## Περὶ τροπαρίων τῶν ἁγίων, καὶ τῶν προτέρων θεοτοκίων πῶς λέγονται τῇ παρασκευῇ ἑσπέρας. καὶ τῷ σαββάτῳ, καὶ τῇ κυριακῇ. Κεφ. πδ.

Χρὴ εἰδέναι, ὅτι τῇ παρασκευῇ ἑσπέρας, καὶ τῷ σαββάτῳ, εἰς τὸ Θεὸς κύριος, λέγομεν μετὰ τοῦ τροπαρίου τοῦ ἁγίου, Δόξα, καὶ νῦν θεοτοκίον, τὸ πρῶτον, εἰς τὸν αὐτὸν ἦχον τοῦ τροπαρίου τοῦ ἁγίου. Εἰ ὁ τοῦ ἤχου δέ, προτέρων θεοτοκίον λέγομεν, μετὰ τοῦ πρώτου καθίσματος τοῦ ψαλτηρίου. Καὶ τὰ μαρτυρικά, εἰς τὸ Δόξα, καὶ νῦν. Εἰ οὐκ ἔτυχεν ὁ ἦχος τοῦ τροπαρίου τοῦ ἁγίου, καὶ τῆς ὀκτωήχου ὁ αὐτός. Εἰ γὰρ οὕτως ἔχει, λέγομεν, τὸ πρῶτον θεοτοκίον τῆς ὀκτωήχου, εἰς τὸ Θεὸς κύριος.

Εἰς δὲ τὰ καθίσματα τοῦ ψαλτηρίου. Δόξα, καὶ νῦν, θεῖα τῆς ἡμέρας. Ὡσαύτως γίνεται καὶ ἐν τῇ κυριακῇ εἰς τὸ θεὸς κύριος. Καὶ εἰς τὰ καθίσματα.

Περὶ ἁγίου ἑορταζομένου εἰς ἡ. ἐὰν τύχῃ ἐν τετράδι ἢ παρασκευῇ, ποῖα θεῖα λέγονται. Κεφά. πέ.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἅγιος, ἐν τετράδι ἢ παρασκευῇ, ἔχων, ἢ μακάριος ἀνήρ, καὶ πολυέλεον, καὶ ἑορτάζεται, εἰς, ἡ. ἐν τοῖς καθίσμασι τοῦ ψαλτηρίου, καὶ ἐν τῇ τετάρτῃ ᾠδῇ, λέγονται θεῖα τῆς ἡμέρας. Ἐν δὲ τῷ ἑσπερινῷ καὶ εἰς τὸ θεὸς κύριος, λέγονται τὰ πρῶτα θεῖα. Ὡσαύτως γίνεται, ἐν δευτέρᾳ, ἢ ἐν τρίτῃ, ἢ πέμπτῃ τύχῃ. Ἐν γὰρ τοῖς καθίσμασι τοῦ ψαλτηρίου, καὶ ἐν τῇ, δ΄, ᾠδῇ, λέγονται θεῖα τῆς ἡμέρας. Ἐν τῷ ἑσπερινῷ δὲ, καὶ εἰς τὸ θεὸς κύριος, λέγονται θεῖα, ά. Καθὼς προδεδήλωται.

Περὶ τῶν πρώτων θείων πῶς λέγονται τῷ σαββάτῳ καὶ τῇ κυριακῇ. Κεφάλαιον. πζ.

Ἐν γὰρ τῷ σαββάτῳ καὶ τῇ κυριακῇ. Κἂν ἐπὶ ἑορταζόμενος ὁ ἅγιος ἐστὶ κἂν ἐπὶ μή. Εἰς τὸν ἑσπερινόν. Εἰς τὸ θεὸς κύριος. Εἰς τὸ κάθισμα τὸ πρῶτον. Καὶ εἰς τὴν, δ΄, ᾠδήν. Εἰ οὐκ ἔστι προεόρτιον τοῦ ἁγίου κατὰ τὸν ἦχον, τὰ ά πρῶτα θεοτοκία λέγονται.

Περὶ ἁγίου ἔχοντος εἴσοδον, καὶ τῶν πρώτων θεοτοκίων στιχηρῶν. Κεφάλαιον, πη.

Χρὴ εἰδέναι, ὅτι ὅτε ἔχει ὁ ἅγιος εἴσοδον. Εἰς τὸ κύριε ἐκέκραξα, λέγονται δόξα, τοῦ ἁγίου. Καὶ νῦν, θεοτοκίον, τὸ, ά, εἰς τὸν αὐτὸν ἦχον. Εἰ μήπως τύχῃ παρασκευῇ ἑσπέρας. Ἐν ταύτῃ γὰρ, θεοτοκίον, τὸ, ά, τοῦ ἤχου λέγεται.

Περὶ τοῦ πότε στιχολογεῖται ἡ τιμιωτέρα. Κεφάλαιον, πθ.

Χρὴ εἰδέναι, ὅτι ἐν ταῖς κυριακαῖς, ἃς ἄλλονται ἀναστάσιμοι κανόνες τῆς ὀκτωήχου καὶ τοῦ μηναίου. Στιχολογεῖται ἡ τιμιωτέρα.

Περὶ ἁγίου ἔχοντος εὐαγγέλιον, ὅτι τῷ κυρίῳ ᾄσωμεν, οὐ στιχολογεῖται. Κεφάλαιον, ς΄.

Χρὴ εἰδέναι, ὅτι ὅτε ἔχει ὁ ἅγιος εὐαγγέλιον, εἰς τὸν ὄρθρον, τῷ κυρίῳ ᾄσωμεν. Οὐ στιχολογεῖται.

Περὶ τοῦ πότε γίνεται λιτὴ, καὶ πότε, οὔ. Κεφάλαιον. ςα.

Χρὴ εἰδέναι, ὅτι ἀείποτε δι᾽ ὅλου τοῦ ἐνιαυτοῦ, γίνεται λιτὴ, ἑσπέρας καὶ πρωΐ. Καὶ μνημονεύονται πάντες οἱ κεκοιμημένοι, ἐν Χριστῷ ἀδελφοὶ καὶ

πατέρες

πρὲς ἡμῶν. Οὐ γίνεται δὲ λιτή, ἀπὸ τῷ πρωῒ τῆς μεγάλης πέμπτης, ἕως τῷ σαββάτῳ τῆς διακαινησίμου. Εἰ μήπως τύχῃ ὁ εὐαγγελισμός. Ἐν αὐτῇ γὰρ γίνεται λιτή. Καὶ ὅτε ἔστι προηγιασμένη, κατὰ τὴν ἑσπέραν καὶ μόνην. Ὡσαύτως καὶ ὅτε ἔστι δοξολογία. Ἑσπέρας μὲν γίνεται λιτή. Καὶ μνημονεύονται οἱ κεκοιμημένοι. Πρωῒ δέ, μετὰ τὴν ἀπόλυσιν τοῦ ὄρθρου, γίνεται μὲν λιτή, οὐ μνημονεύονται δὲ οἱ κεκοιμημένοι. Ἀλλ᾽ εὐθὺς μετὰ τὸ τροπάριον τοῦ ἁγίου, ἡ, α΄, ὥρα, καὶ ἀπόλυσις.

### Περὶ τῶν προεορτίων τῶν δεσποτικῶν ἑορτῶν, ἂν τύχωσιν ἐν κυριακῇ. Κεφάλαιον, ϛβ΄.

Χρὴ εἰδέναι, ὅτι ἂν τύχωσι προεόρτια, τῶν δεσποτικῶν ἑορτῶν. Ἤγουν τῆς γεννήσεως τῆς ὑπεραγίας θεοτόκου. Καὶ τῆς ὑψώσεως τοῦ τιμίου σταυροῦ. Τῆς εἰσόδου. Τῆς ὑπαπαντῆς. Τοῦ εὐαγγελισμοῦ. Τῆς μεταμορφώσεως. Καὶ τῆς κοιμήσεως τῆς ὑπεραγίας θεοτόκου, ἐν κυριακῇ. Ἑσπέρας, εἰς τὸ κύριε ἐκέκραξα. Δόξα, τὸ ἰδιόμελον, α΄, τῆς ἑορτῆς. Καὶ νῦν, θεοτοκίον τὸ, α΄, τοῦ ἤχου. Εἰς τὴν λιτὴν τὸ στιχηρὸν τῆς ἑορτῆς. Εἰς τὸν στίχον δόξα, καὶ νῦν, τῆς ἑορτῆς, ἤγουν τὸ πρῶτον τῆς ἑορτῆς. Ὡσαύτως γίνεται εἰ τύχωσι τὰ προεόρτια ἐν σαββάτῳ. Τῇ παρασκευῇ ἑσπέρας, εἰς τὸ κύριε ἐκέκραξα. Δόξα, τὸ προεόρτιον, καὶ νῦν, θεοτοκίον, τὸ πρῶτον, τοῦ ἤχου, εἰ μήπως οὐ ψάλλεται ἐν τῷ σαββάτῳ ἡ ὀκτώηχος.

Τυπι.

### Περὶ ἁγίου ἔχοντος πολυέλεον, καὶ ἑορταζομένου, εἰς, ϛ, ἤ, εἰ τύχῃ ἐν σαββάτῳ. Κεφά. ϛγ΄.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ὁ ἅγιος ἐν σαββάτῳ, ἔχων πολυέλεον, καὶ ἑορτάζεται, εἰς, ϛ, ἤ. Οὐ λέγεται κανὼν τῆς ὀκτωήχου ὁ νεκρώσιμος. Ἀλλὰ τῆς θεοτόκου μετὰ τῶν εἱρμῶν, εἰς, η΄. Καὶ τοῦ ἁγίου εἰς, η΄.

### Περὶ τοῦ εἰ τύχῃ ἐν σαββάτῳ, ἀλληλούϊα. Κεφάλαιον, ϛδ΄.

Χρὴ εἰδέναι, ὅτι ἐὰν τύχῃ ἐν σαββάτῳ, ἀλληλούϊα. Τῇ παρασκευῇ ἑσπέρας μετὰ τὴν συνήθη στιχολογίαν. Εἰς τὸ κύριε ἐκέκραξα, στιχηρὰ τοῦ μηναίου, γ΄. Καὶ τρία μαρτυρικὰ τοῦ ἤχου. Δόξα, τοῦ ἁγίου, εἰ ἔχει. Καὶ νῦν, θεοτοκίον, τὸ, α΄, τοῦ ἤχου. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, τὸ τέταρτον μαρτυρικὸν τοῦ ἤχου, καὶ τὰ, β΄, νεκρώσιμα, στιχηρὰ Ἰωάννου τοῦ δαμασκηνοῦ, μετὰ τῶν στίχων αὐτῶν. Δόξα, τοῦ ἁγίου εἰ ἔχει. Καὶ νῦν, θεοτοκίον, τῆς ἡμέρας. Εἰ δὲ εἰσὶ δύο ἅγιοι, εἰς τὸ κύριε ἐκέκραξα, τὰ στιχηρὰ αὐτῶν εἰς, ϛ΄. Εἰς τὸν στίχον τὰ τρία μαρτυρικά. τὸ, β΄. τὸ, γ΄. καὶ τὸ, δ΄. Καὶ νεκρώσιμον. Δόξα, καὶ νῦν, θεοτοκίον τῆς ἡμέρας. Τροπάριον. Ἀπόστολοι μάρτυρες. Δόξα, μνήσθητι κύριε ὡς ἀγαθὸς τῶν δούλων. Καὶ νῦν, μήτηρ ἁγία. ἡ ἐκτενής, καὶ ἀπόλυσις. Καὶ ἡ συνήθης λιτή. Ἐν τῷ ὄρθρῳ, ἀλληλούϊα, εἰς ἦχον, β΄. Τροπάριον. Ἀπόστολοι μάρτυρες, δίς. Δόξα, μνήσθητι κύριε ὡς ἀγαθός.

Καὶ νῦν. Μήτηρ ἁγία. Μετὰ δὲ τὸ πρῶτον κάθισμα τῆς στιχολογίας, μαρτυρικά, γ΄. τὸ β΄. τὸ γ΄. καὶ τὸ δ΄. Καὶ νεκρώσιμον μετὰ τοῦ στίχου αὐτοῦ. Δόξα, καὶ νῦν, θεοτοκίον, τὸ, α΄, τοῦ ἤχου. Ὁ ἄμωμος. διαιρεῖται εἰς στάσεις δύο. Μετὰ τὸν ἄμωμον, Εὐλογητὸς εἶ κύριε δίδαξόν με τὰ δικαιώματά σου. τροπάρια. Τῶν ἁγίων ὁ χορὸς. καὶ τὰ λοιπά. Εἶτα λέγει ὁ ἱερεύς. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως πάντων τῶν προκεκοιμηθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων. Καὶ τὴν εὐχήν. Καὶ ἡμεῖς τὸ κύριε ἐλέησον, μ΄. Εἶτα κάθισμα, ἦχος πλ. β΄. Ἀνάπαυσον σωτὴρ ἡμῶν. Δόξα, καὶ νῦν, θεοτοκίον. Ὁ ἐκ παρθένου. Οἱ κανόνες. τοῦ μηναίου μετὰ τοῦ εἱρμοῦ, εἰς, ϛ΄. Τῆς θεοτόκου, εἰς δ΄. Καὶ ὁ νεκρώσιμος, εἰς, δ΄. Ἀπὸ, γ΄, ᾠδῆς, κάθισμα τοῦ ἁγίου. Δόξα, καὶ νῦν, θεοτοκίον, τὸ, α΄, τοῦ, α΄, ἤχου. Ἀπὸ ϛ΄ ἐκτῆς, κοντάκιον νεκρώσιμον. Μετὰ τῶν ἁγίων ἀνάπαυσον χριστὲ τὰς ψυχὰς τῶν δούλων σου. Καὶ τὸν οἶκον. Τὸ φωταγωγικὸν τοῦ ἤχου. Εἰς τοὺς αἴνους, τὰ τέσσαρα μαρτυρικὰ τοῦ ἤχου. Δόξα, καὶ νῦν, θεοτοκίον, τῆς ἡμέρας. Εἰς τὸν στίχον, προσόμοια τοῦ κυρίου θεοφάνους. Δόξα, καὶ νῦν, τὸ προσόμοιον αὐτῶν, θ΄. τροπάρια, Ἀπόστολοι μάρτυρες. Δόξα. Μνήσθητι κύριε ὡς ἀγαθὸς τῶν δούλων σου. καὶ νῦν. Μήτηρ ἁγία. ἡ ἐκτενής, καὶ ἀπόλυσις. Ἡ πρώτη ὥρα, καὶ ἡ λιτὴ ὡς σύνηθες. Ἐν ταῖς ὥραις, τροπάριον, Ἀπόστολοι μάρτυρες. δόξα, Μνήσθητι κύριε ὡς ἀγαθὸς τῶν δούλων σου. καὶ νῦν, θεοτοκίον, τῶν ὡρῶν. Ἐν τοῖς τρισαγίοις αὐτῶν, τὰ συνήθη τροπάρια. Εἰς τὴν λειτουργίαν, οἱ μακαρισμοὶ τοῦ ἤχου, εἰς, ϛ΄. τροπάριον, Ἀπόστολοι μάρτυρες. Μνήσθητι κύριε. Δόξα, Μετὰ τῶν ἁγίων ἀνάπαυσον χριστέ. καὶ νῦν, θεοτοκίον. Σὲ καὶ τεῖχος καὶ λιμένα ἔχομεν. προκείμενον, ἦχος πλ. β΄. Εὐφράνθητε ἐπὶ κύριον, πάντες δίκαιοι. στίχος. Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι. Καὶ νεκρώσιμον. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται. Ὁ ἀπόστολος τῆς ἡμέρας καὶ ὁ νεκρώσιμος. ἀλληλούια, ἦχος, δ΄. Ἐκέκραξαν οἱ δίκαιοι καὶ ὁ κύριος εἰσήκουσεν αὐτῶν. καὶ νεκρώσιμον. Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου κύριε. Εὐαγγέλιον τῆς ἡμέρας, καὶ νεκρώσιμον. Κοινωνικόν. Ἀγαλλιᾶσθε δίκαιοι ἐν κυρίῳ. Καὶ νεκρώσιμον.

## Περὶ τῶν ἡμερῶν τῆς ἑβδομάδος πῶς ψάλλονται οἱ κανόνες αὐτῶν μετὰ τῶν ἁγίων τοῦ μηναίου.

### Κεφάλαιον, ϛε΄.

Χρὴ εἰδέναι, ὅτι τῇ κυριακῇ οἱ κανόνες, οὕτως ψάλλονται. Ὁ ἀναστάσιμος, μετὰ τοῦ εἱρμοῦ, εἰς, δ΄. Ὁ σταυροαναστάσιμος, εἰς, β΄. Τῆς θεοτόκου, εἰς, δ΄. Καὶ τοῦ μηναίου, εἰς, δ΄. Εἰ δὲ ἑορτάζεται ὁ ἅγιος, εἰς, ϛ΄. Καταλιμπάνεται ὁ σταυροαναστάσιμος, καὶ λέγεται τοῦ ἁγίου, εἰς, ϛ΄. Εἰ δὲ ἑορτάζονται, εἰς, η΄. Λέγεται ὁ ἀναστάσιμος, εἰς, δ΄. Καὶ τῆς θεοτόκου, εἰς β΄. Καὶ τοῦ ἁγίου, εἰς, η΄. Ὡσαύτως γίνεται εἰ εἰσὶ δύο ἅγιοι, ἢ προεόρτια, ἢ μεθέορτα, καὶ ἅγιος.

Τῇ δευτέρᾳ ὁ κατανυκτικὸς μετὰ τοῦ εἱρμοῦ, εἰς, ϛ΄. Καὶ τῶν ἀγγέλων, εἰς, δ΄. Καὶ τοῦ μηναίου, εἰς, δ΄. Εἰ δὲ ἑορτάζεται ὁ ἅγιος, εἰς, ϛ΄. Καταλιμπάνονται τὰ δύο μαρτυρικά. Καὶ λέγονται τοῦ ἁγίου, εἰς, ϛ΄. Εἰ δὲ εἰς, η΄, ἑορτάζεται, καταλιμπάνεται τῶν ἀσωμάτων, καὶ λέγεται ὁ κατανυκτικός, εἰς, ϛ΄. μετὰ τοῦ εἱρμοῦ. Καὶ τοῦ ἁγίου, εἰς, η΄. Ὡσαύτως γίνεται, εἰ εἰσὶ δύο ἅγιοι.

Πρόσχες, ὅτι ὅταν ἑορτάζεται ὁ ἅγιος, εἰς, η΄, ὀκτώηχος οὐ ψάλλεται. Ἀλλὰ τῆς θεοτόκου ὁ κανών, εἰς, ϛ΄, σὺν τοῖς εἱρμοῖς. Καὶ τοῦ ἁγίου, εἰς, η΄. Ὅτε δὲ τύχωσι δύο ἅγιοι, ψάλλεται μὲν ἡ ὀκτώηχος, καταλιμπάνεται δὲ ὁ, β΄, κανὼν τῆς ἡμέρας.

Τῇ τρίτῃ, ὁ κατανυκτικὸς μετὰ, τοῦ εἱρμοῦ, εἰς, ϛ΄. Τοῦ προδρόμου, εἰς, δ΄. Καὶ τοῦ μηναίου, εἰς, δ΄. Εἰ δὲ ἑορτάζεται ὁ ἅγιος, εἰς, ϛ΄ καταλιμπάνονται τὰ δύο μαρτυρικά. Καὶ λέγονται τοῦ ἁγίου, εἰς, ϛ΄. Εἰ δὲ εἰς, η΄. ἑορτάζεται ὁ ἅγιος, καταλιμπάνεται τοῦ προδρόμου. Καὶ λέγεται ὁ κατανυκτικὸς μετὰ τοῦ εἱρμοῦ, εἰς, ϛ΄. Καὶ τοῦ ἁγίου, εἰς, η΄. Ὡσαύτως γίνεται εἰ εἰσὶ δύο ἅγιοι.

Τῇ τετράδι ὁ σταυρώσιμος μετὰ τοῦ εἱρμοῦ, εἰς, ϛ΄. Τῆς θεοτόκου, εἰς, δ΄. Καὶ τοῦ μηναίου, εἰς, δ΄. Εἰ δὲ ἑορτάζεται ὁ ἅγιος, εἰς, ϛ΄. Καταλιμπάνονται τὰ, β΄, μαρτυρικά. Καὶ λέγονται τοῦ ἁγίου, εἰς, ϛ΄. Εἰ δὲ εἰς, η΄, ἑορτάζεται ὁ ἅγιος, καταλιμπάνεται τῆς θεοτόκου καὶ λέγεται ὁ σταυρώσιμος μετὰ τοῦ εἱρμοῦ, εἰς, ϛ΄ καὶ τοῦ ἁγίου εἰς, η΄ ἢ καταλιμπάνονται τὰ δύο μαρτυρικά καὶ λέγεται ὁ σταυρώσιμος

Τυπ.

μετὰ τοῦ εἱρμοῦ, εἰς, δ΄. Τῆς θεοτόκου, εἰς, β΄. Καὶ τοῦ ἁγίου, εἰς, η΄. Ὡσαύτως γίνεται, εἰ εἰσὶ δύο ἅγιοι.

Τῇ πέμπτῃ, τῶν ἁγίων ἀποστόλων, μετὰ τοῦ εἱρμοῦ, εἰς, ϛ΄. Καὶ τοῦ ἁγίου Νικολάου, εἰς, δ΄. Καὶ τοῦ μηναίου, εἰς δ΄. Εἰ δὲ ἑορτάζεται ὁ ἅγιος εἰς, ϛ΄. Λέγεται τῶν ἁγίων ἀποστόλων μετὰ τοῦ εἱρμοῦ καὶ τοῦ θείου, εἰς, ε΄. Καὶ τοῦ ἁγίου Νικολάου μετὰ τοῦ θείου, εἰς, γ΄. Καὶ τοῦ ἁγίου, εἰς, ϛ΄. Εἰ δὲ εἰς, η΄, ἑορτάζεται ὁ ἅγιος, καταλιμπάνεται τοῦ ἁγίου Νικολάου, καὶ λέγεται τῶν ἁγίων ἀποστόλων μετὰ τοῦ εἱρμοῦ, εἰς ϛ΄. Καὶ τοῦ ἁγίου, εἰς, η΄. Ὡσαύτως γίνεται εἰ εἰσὶ δύο ἅγιοι.

Τῇ παρασκευῇ, ὁ σταυρώσιμος μετὰ τοῦ εἱρμοῦ, εἰς, ϛ΄. Τῆς θεοτόκου, εἰς, δ΄. Καὶ τοῦ μηναίου, εἰς, δ΄. Εἰ δὲ ἑορτάζεται ὁ ἅγιος, εἰς, ϛ΄, καταλιμπάνονται τὰ δύο μαρτυρικά. Καὶ λέγεται τοῦ ἁγίου, εἰς, ϛ΄. Εἰ δὲ εἰς, η΄, ἑορτάζεται ὁ ἅγιος, καταλιμπάνεται τῆς θεοτόκου, καὶ λέγεται ὁ σταυρώσιμος μετὰ τοῦ εἱρμοῦ, εἰς, ϛ΄. Καὶ τοῦ ἁγίου, εἰς, η΄. Ἢ καταλιμπάνονται τὰ δύο μαρτυρικά, καὶ λέγεται ὁ σταυρώσιμος, μετὰ τοῦ εἱρμοῦ, εἰς, δ΄. Τῆς θεοτόκου, β΄. Καὶ τοῦ ἁγίου, εἰς, η΄. Ὡσαύτως γίνεται εἰ εἰσί, β, ἅγιοι.

Τῷ σαββάτῳ, τοῦ μηναίου μετὰ τοῦ εἱρμοῦ, εἰς, ϛ΄. Τῆς θεοτόκου τοῦ ἤχου, εἰς δ΄. Καὶ ὁ νεκρώσιμος, εἰς, δ΄. Εἰ δὲ εἰσὶ δύο ἅγιοι, τοῦ ἑνὸς ὁ κανὼν μετὰ τοῦ εἱρμοῦ, εἰς, [illegible] Καὶ τοῦ ἑτέρου, εἰς, δ΄. Καὶ ὁ νεκρώσιμος, εἰς, δ΄. Εἰ δὲ εἰς, η΄, ἑορτάζεται ὁ ἅγιος, λέγεται τῆς θεοτόκου ὁ κανὼν εἰς, ϛ΄. Καὶ τοῦ ἁγίου, εἰς ὀκτώ.

## Περὶ τοῦ πῶς δεῖ θυμιᾶν. Κεφάλαιον ς΄.

Ἰστέον ὅτι, οὕτως δεῖ θυμιᾶν τὸν ἱερέα, ἢ τὸν διάκονον· ἐν πρώτοις ἵσταται ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ ποιεῖ σταυρὸν μετὰ τοῦ θυμιατοῦ. εἶθ' οὕτως μεθίσταται πρὸς τὸ νότιον μέρος. καὶ ἐξ ἐκείνου, κυκλοτερῶς πρὸς τὸ βόρειον. καὶ ποιεῖ ὁμοίως ἐν ἑκάστῃ τούτων σταυρόν. καὶ ἑξῆς θυμιᾷ τὸ θυσιαστήριον, καὶ ὅλον τὸ ἱερατεῖον. Μετὰ δὲ ταῦτα ἐξέρχεται διὰ τοῦ βορείου κλίτους, καὶ ἀπέρχεται μέχρι τῶν ἁγίων θυρῶν, καὶ σφραγίζων σταυρὸν ἐν αὐταῖς. καὶ διέεισι μέχρι τοῦ νοτίου μέρους. εἶθ' οὕτως ἀπέρχεται πρὸς τὸν προεστῶτα. εἰ δὲ οὐ πάρεστιν, εἰς τὸν τόπον αὐτοῦ. καὶ οὕτως ἀρχόμενος τὸ μέρος τοῦ καθηγουμένου, θυμιᾷ πάντας. εἶτα μετὰ τὸ θυμιᾶσαι τὸν χορόν, ἵσταται ἀπέναντι αὐτοῦ εἰς τὸ μέσον. καὶ ἐπιτηρῶν καθ' ὃ ψάλλει ὁ ἕτερος χορός. οὕτως σιωπῶν ποιεῖ σταυρὸν μετὰ τοῦ θυμιατοῦ, προσκυνῶν ἐν τῷ αὐτῷ χορῷ. καὶ ἀντιβάλλουσιν αὐτῷ πάντες οἱ τοῦ χοροῦ μετάνοιαν. καὶ οὕτως μεθιστάμενος ἀπέρχεται καὶ θυμιᾷ τὸν ἕτερον χορόν. Ἀρχόμενος ἀπὸ τῶν ἁγίων θυρῶν, καὶ κατερχόμενος, μέχρι τῶν βασιλικῶν πυλῶν. Ποιῶν καὶ ἐν αὐτῷ ὥσπερ καὶ εἰς τὸν ἕτερον. εἶθ' οὕτως ἐξέρχεται διὰ τοῦ βορείου πυλῶνος, θυμιῶν κἀκεῖσε πάντας, καθὼς καὶ ἐν τῷ ναῷ. Πληρώσας δὲ τὸ θυμιᾶν, καὶ μέλλων εἰσιέναι ἐν τῷ ναῷ, σφραγίζει σταυρόν, ἔμπροσθεν τῶν βασιλικῶν πυλῶν, ὡσαύτως καὶ εἰς τὸν ὀμφαλόν, ἤγουν ἐν τῷ μέσῳ τοῦ ναοῦ, καὶ εἰς τὰ ἄλλα θυρεῖα ὁμοίως. Προθυμιῶν πάλιν τὸν ἡγούμενον ἐν τῷ εἰσιέναι. καὶ οὕτως εἰσέρχεται διὰ τῆς προθέσεως, ποιῶν πάλιν σταυρὸν ἐν τῇ ἁγίᾳ τραπέζῃ. τὰ γὰρ ἄλλα θυρεῖα, οὐδέποτε ἀνοίγονται, ἀλλὰ μόνον δηλονότι τῆς εἰσόδου, καὶ τοῦ ἀσπασμοῦ τοῦ εὐαγγελίου, καὶ τῶν θείων μυστηρίων. καὶ τοῦ πληρωθήτω.

Παρατηρητέον δὲ καὶ τοῦτο ὑπὸ τοῦ θυμιῶντος, ἐὰν ἐν τῷ θυμιᾶν αὐτὸν εἰς ἕνα τῶν χορῶν τύχῃ τινὰ ταχθέντα ἄρξασθαι ψάλλειν τὸ ἀντίφωνον. καὶ ἤδη ψαλθέντος τοῦ προεκφωνηθέντος στίχου, μέλλει ὁ ἐναρξάμενος βαλεῖν πρὸς τὸν χορὸν μετάνοιαν. εἰ μὲν παρὰ γ΄, καὶ δ΄. τῶν ἐν τῷ χορῷ ἱσταμένων ἔλθῃ ὁ θυμιῶν τοῦ πληρῶσαι τὸν χορόν, καταλιμπάνει τοὺς τοιούτους. καὶ ἀπερχόμενος ἵσταται εἰς τὸ μέσον τοῦ χοροῦ. ἔνθα ἐστὶν αὐτῷ συνήθως ποιεῖν τὴν μετάνοιαν. καὶ βάλλοντος τοῦ ἐναρξαμένου τὴν ἐποφειλομένην μετάνοιαν πρὸς τὸν χορόν, βάλλει καὶ αὐτὸς μετάνοιαν σὺν αὐτῷ καὶ σὺν παντὶ τῷ χορῷ, καὶ οὕτως ὑποστρέφων, θυμιᾷ τοὺς ὑπολειφθέντας. εἰ δὲ πλείω τῶν τεσσάρων εἰσὶν οἱ ἀπολειπόμενοι, ἔρχεται ἀπεγκόπως τῆς ἀκολουθίας αὐτοῦ. ὁ δὲ τὴν προεκφώνησιν ποιήσας, βάλλει μόνος τὴν μετάνοιαν αὐτοῦ εἰς τὸν χορόν, καὶ ὁ χορὸς εἰς αὐτόν. Αὐτὸ δὲ τοῦτο ποιεῖ ὁ θυμιῶν, καὶ τῶν χορῶν ἐναρξαμένων ἤδη, εἴτε πρὸς τὴν ἐκφώνησιν ποιουμένων τῆς ᾠδῆς, εἴτε τοῦ κανονάρχου ἐν τῷ μέσῳ στάντος, ἔνθεν καὶ συνήθες ἔχων βάλλειν

281

λειν αὐτὸν τὴν μετάνοιαν. Ἐὰν δὲ ἔρχεται γὰρ τῶν ἐνδεχθέντων τὴν ἐκπλήρωσιν, καὶ οὕτως κοινῶς ἐκπληροῦσι τὴν μετάνοιαν. Πρὸς τὸ μὴ συχνοτέρως ποιεῖσθαι τοὺς ἐν τοῖς χοροῖς τὰς ἐπικλίσεις καὶ ἀνακλίσεις. Ὅπερ ἐστὶ σημεῖον ἀταξίας.

Προκείμενα ἀναστάσιμα τῶν κυριακῶν εἰς τὸν ὄρθρον. Κεφ. ϟζʹ.

Ἦχος α΄. Νῦν ἀναστήσομαι λέγει Κύριος.
Στίχ. Τὰ λόγια Κυρίου λόγια ἁγνά.
Ἦχος β΄. Ἐξεγέρθητι Κύριε ὁ Θεός μου ἐν.
Στίχ. Κύριε ὁ Θεός μου ἐπὶ σοὶ ἤλπισα.
Ἦχος γ΄. Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι.
Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.
Ἦχος δ΄. Ἀνάστα Κύριε βοήθησον ἡμῖν.
Στίχ. Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν.
Ἦχος πλ. α΄. Ἀνάστηθι Κύριε ὁ Θεός μου, ὑψω.
Στίχ. Ἐξομολογήσομαί σοι Κύριε, ἐν ὅλῃ.
Ἦχος πλ. β΄. Κύριε ἐξέγειρον τὴν δυναστείαν σου καὶ ἐλθὲ εἰς τὸ σῶσαι. Στίχ. Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες. ὁ ὁδη.
Ἦχος βαρύς. Ἀνάστηθι Κύριε ὁ Θεός μου ὑψω.
Στίχ. Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ.
Ἦχος πλ. δ΄. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου Σιὼν εἰς γενεάν.
Στίχ. Αἴνει ἡ ψυχή μου τὸν Κύριον αἰνέσω.

Προκείμενα ἀλληλουϊάρια τῶν ὀκτὼ ἤχων ἐν ταῖς κυριακαῖς. Κεφ. ϟη.

Ἦχος α΄. Γένοιτο Κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν.
Στίχ. Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.
Ἀλληλούϊα. Ὁ Θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοί. Στίχ. Μεγαλύνων τὰς σωτηρίας.
Ἦχος β΄. Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ.
Στίχ. Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος.
Ἀλληλούϊα. Ἐπακούσαι σου Κύριος ἐν.
Στίχ. Κύριε σῶσον τὸν βασιλέα, καὶ ἐπα.
Ἦχος γ΄. Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη.
Στίχ. Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς ψαλ.
Ἀλληλούϊα. Ἐπὶ σοὶ Κύριε ἤλπισα μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.
Στίχ. Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν.
Ἦχος δ΄. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε.
Στίχ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης.
Ἀλληλούϊα. Ἔντεινε καὶ κατευοδοῦ.
Στίχ. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμί.
Ἦχος πλ. α΄. Σὺ Κύριε φυλάξαις ἡμᾶς καὶ.
Στίχ. Σῶσόν με Κύριε, ὅτι ἐκλέλοιπεν.
Ἀλληλούϊα. Τὰ ἐλέη σου Κύριε εἰς τὸν.
Στίχ. Ὅτι εἶπας εἰς τὸν αἰῶνα ἔλεος.
Ἦχος πλ. β΄. Σῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Στίχ. Πρὸς σὲ Κύριε κεκράξομαι καὶ πρὸς τὸν Θεόν.
Ἀλληλούϊα. Ὁ κατοικῶν ἐν βοηθείᾳ.
Στίχ. Βοηθός μου καὶ ἐλπιῶ ἐπ' αὐτῷ.
Ἦχος βαρύς. Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει. Κύριος εὐλογήσει.
Στίχ. Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ.
Ἀλληλούϊα. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ. Στίχ. Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν.
Ἦχος πλ. δ΄. Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ.
Στίχ. Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεὸς ἐν τῷ.
Ἀλληλούϊα. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ ἀλαλάξωμεν.
Στίχ. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει.

Προκείμενα, καὶ ἀλληλουϊάρια, τὰ ἐν ταῖς λειτουργίαις ψαλλόμενα

τῆς ὅλης ἑβδομάδος ἐν αἷς ἡμέραις οὐ ψάλλεται θεὸς κύριος, ἀλλὰ δὲ καὶ κοινωνικά. Κεφάλαιον 99.

Ἐν ταῖς δὲ ἡμέραις οὐ ψάλλεται θεὸς κύριος, ἤγουν εἰ οὐκ ἔστιν ἑορτάσιμος ἅγιος, ἅ ἐν ταῖς λειτουργίαις ψαλλόμενα προκείμενα, καὶ τὰ ἀλληλούϊα, ἅμα δὲ καὶ κοινωνικόν, εἰσὶ ταῦτα.

Τῇ δευτέρᾳ, τῶν ἀσωμάτων. Προκείμενον, ἦχος δ'.

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα.

Στίχ. Εὐλόγει ἡ ψυχή μου τὸν κύριον κύριε ὁ.

Ἀλληλούϊα. Αἰνεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν, Αἰνεῖτε αὐτόν. Κοινωνικόν.

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα.

Τῇ τρίτῃ, τοῦ προδρόμου. Προκείμενον, ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν τῷ κυρίῳ.

Στίχ. Εἰσάκουσον ὁ θεὸς τῆς δεήσεώς μου.

Ἀλληλούϊα. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει. καὶ ὡσεὶ κέδρος. Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

Τῇ τετράδι, τῆς θεοτόκου. Προκείμενον, ἦχος γ'.

Ὠδὴ τῆς θεοτόκου. Μεγαλύνει ἡ ψυχή μου τὸν κύριον. καὶ ἠγαλλίασε.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν.

Ἀλληλούϊα, ἦχος πλ. δ'. Ἄκουσον θύγατερ καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου. Κοινωνικόν.

Ποτήριον σωτηρίου λήψομαι.

Τῇ πέμπτῃ, τῶν ἁγίων ἀποστόλων, Προκείμενον, ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ.

Ἀλληλούϊα. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὴν δικαιοσύνην. Κοινωνικόν.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος.

Τῇ παρασκευῇ, σταυρώσιμον. Προκείμενον, ἦχος βαρύς.

Ὑψοῦτε κύριον τὸν θεὸν ἡμῶν καὶ προσκυνεῖτε.

Στίχ. Ὁ κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν.

Ἀλληλούϊα. Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω. Κοινωνικόν.

Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ.

Τῷ σαββάτῳ, νεκρώσιμον. Προκείμενον, ἦχος πλ. β'.

Εὐφράνθητε ἐπὶ κύριον, καὶ ἀγαλλιᾶσθε.

Στίχ. Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι.

Ἀλληλούϊα. Μακάριοι οὓς ἐξελέξω, καὶ προσελάβου κύριε. Κοινωνικόν.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν κυρίῳ.

Περὶ τοῦ πότε μέλλουσι ψάλλεσθαι τὰ προκείμενα ὑπὸ τοῦ ἀναγνώστου. Κεφάλαιον ρ'.

Ὁπότε μέλλει ψάλλειν τὸ προκείμενον ὁ ἀναγνώστης. ὀφείλει βάλλειν μετάνοιαν τῷ προεστῶτι. Ἢ μὴ ὄντος τούτου, εἰς τὸν τόπον αὐτοῦ. Καὶ ἑτέραν μετάνοιαν, ἔμπροσθεν τῶν ἁγίων θυρῶν. Καὶ οὕτως εἰπεῖν τὸ προκείμενον. Εἰς δὲ τὸ τέλος πάλιν ποιήσας μετάνοιαν, στρέφει κατὰ δυσμὰς σκεπάζων τὴν κεφαλὴν αὐτοῦ. Καὶ ἵσταται ψάλλων, μέχρι τοῦ πληρώματος τοῦ προκειμένου. Καὶ μετὰ τὸ τέλος, ποιήσας μετάνοιαν κατὰ δυσμάς, ἐξέρχεται. Οὕτως παρελάβομεν ποιεῖν, ἀπὸ τὰς παραδόσεις τῶν ἁγίων πατέρων.

Ὀφείλει τοίνυν ὁ ἱερεὺς ὁπότε μέλλει διακονεῖν, πρότερον ποιεῖν μετάνοιαν ἐν τῷ στασιδίῳ τοῦ προεστῶτος. Εἰ δὲ ἔνι ὁ προεστὼς ἐν τῇ μονῇ, ὅπου ἂν ἵσταται, κἀκεῖ ὁ ἱερεὺς ἀφικόμενος,

Ποιεῖ

Ποιεῖ τὴν συνήθη μετάνοιαν. Καὶ οὕτως εἰσέρχεται πληρῶν τὴν λειτουργίαν, ἢ τὴν διακονίαν αὐτοῦ. Καθ' ἑκάστην δὲ συναπτὴν, ποιεῖ σχῆμα μετανοίας τῷ προεστῶτι, ἢ ἐν τῷ τόπῳ αὐτοῦ, τούτου ἀποδημοῦντος μακρόθεν.

Ὁ δὲ κανδηλάπτης, ὁπόταν μέλλει σημαίνειν. Κἂν ἡ πρώτη ὥρα ἐστὶν, ὁμοίως καὶ αὐτὸς ποιεῖ μετάνοιαν ὡς εἰρήκαμεν. Εἰ οὐκ ἔστιν ὁ προεστὼς, ποιεῖ εἰς τὸν τόπον αὐτοῦ. Ὁ δὲ τόπος οὐκ ἔστιν, ἀλλ' ἢ τοῦ θεοῦ τόπος ἐστίν. Ὁ γὰρ ἐγνώσει τιμῶν τὸν ἑαυτοῦ, οὗτος τὸν θεὸν ἐν ἀληθείᾳ ἠγάπησεν.

Ὅταν δὲ μέλλει σταθῆναι ἐν τῷ ἀναλογίῳ, τοῦ ἄρξασθαι στιχολογεῖν, πάλιν ποιεῖ μετάνοιαν, ἐν ᾧ τόπῳ ἵσταται ὁ προεστώς. Καὶ οὕτως ἄρχεται. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἀπέρχεται εἰς τὸν μέλλοντα ψάλλειν, καὶ λέγει αὐτῷ τὸν τοῦ βιβλίου ἦχον. Εἶτα βάλλει τούτῳ μετάνοιαν. Καὶ ἵσταται ἔμπροσθεν αὐτοῦ, μέχρις ἂν τὴν ἀρχὴν πληρώσῃ. Εἶτα ψάλλει πάλιν καὶ αὐτὸς τὴν ἀρχὴν μετ' αὐτοῦ. Καὶ βαλὼν πάλιν τούτου μετάνοιαν, ἀπέρχεται εἰς τὸν τόπον αὐτοῦ. Καὶ εἰ μὲν ψάλλουσιν οἱ δύο χοροί, λέγειν τὸν ἕνα χορὸν τὸ πρῶτον, τροπάριον. Καὶ ποιήσας μετάνοιαν, λέγειν ἄλλον χορόν. Καὶ εἰς τὸ τέλος τοῦ β' τροπαρίου, ποιεῖ κἀκεῖνον μετάνοιαν, καὶ οὕτως ὑπάγει καὶ ἄρχεται χωρὶς μετανοίας. Εἰς δὲ τὸ, ὅτι ἐκραταιώθη, ἵσταται μέσον τῶν δύο χορῶν ἀσκεπής. Καὶ προσκυνεῖ, καὶ ψάλλουσιν οἱ β' χοροί. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, οὕτως καὶ τὸ αἰνεῖτε τὸν κύριον εἰς τὸν ὄρθρον. Εἰς δὲ τὴν ἀπόλυσιν, ὅταν λέγουσι τὸ τρισάγιον, ποιεῖ μετάνοιαν εἰς τὰ ἅγια θύρια. Καὶ εἰς τοὺς δύο χορούς, καὶ ἀπέρχεται.

Δεῖ γινώσκειν, πῶς ὑψοῦται ἡ παναγία, καθ' ὅλης τῆς ἑβδομάδος τῆς διακαινησίμου. Ὑψοῖ τὴν προσφορὰν ἀκεραίαν λέγων. Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ἐκ γ'. Ὁ λαὸς ἀποκρίνεται λέγων. Ἀληθῶς ἀνέστη ὁ κύριος. Καὶ ποιεῖ σταυροῦ τύπον. Προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν. Εἶτα ἀσπαζόμεθα τὴν παναγίαν. Οὐ μέντοι ἐσθίομεν αὐτήν. Μέχρι τοῦ σαββάτου. Ἀλλὰ καθ' ἑκάστην αὐτὴν ὑψοῦμεν, καὶ ἀσπαζόμεθα αὐτήν. Τῷ γὰρ σαββάτῳ ἐσθίομεν αὐτήν, ψάλλοντες τὸ Χριστὸς ἀνέστη.

Ἀπὸ δὲ τοῦ σαββάτου τοῦ πάσχα, μέχρις ἂν ἀποδώσωμεν τὸ Χριστὸς ἀνέστη, ὑψοῦται οὕτως. Ὑψοῖ τὴν παναγίαν, καὶ λέγει Χριστὸς ἀνέστη ἐκ νεκρῶν. Εἶτα ποιεῖ σταυροῦ τύπον, καὶ λέγει. Παναγία θεοτόκε βοήθει ἡμῖν. Ὁ λαός, Ταῖς αὐτῆς πρεσβείαις ὁ θεὸς ἐλέησον, καὶ σῶσον ἡμᾶς, ἀμήν.

Τέλος.

## Πίναξ ἀκριβὴς εἰς τὰ ἀπορούμενα τοῦ τυπικοῦ.

Τὰ δυσχερῆ πῶς, τυπικοῦ τῆς πυξίδος.
Πολλοῖς, ὁ πόνος, πρὸς διάγνωσιν λύει.

Μηνὶ σεπτεμβρίῳ, α΄. Περὶ τῆς ἰνδίκτου, καὶ τοῦ ὁσίου συμεών, εἰ τύχωσιν ἐν κυριακῇ. Κεφάλαιον, α΄.

Τῷ αὐτῷ μηνί, ιγ΄. Περὶ τῆς ἑορτῆς τῶν ἐγκαινίων, εἰ τύχῃ ἐν κυριακῇ. κεφάλαιον, β΄.

Μηνὶ ὀκτωβρίῳ, ια΄. Περὶ τῆς ἑβδόμης συνόδου, πῶς καὶ πότε ὀφείλει ψάλλεσθαι. κεφάλαιον, γ΄.

Μηνὶ νοεμβρίῳ, ιε΄. Περὶ τῆς ἀρχῆς τῆς τεσσαρακοστῆς τῶν Χριστοῦ γεννῶν. κεφάλαιον, δ΄.

Περὶ τῆς τεσσαρακοστῆς τῶν Χριστοῦ γεννῶν, εἰ τύχῃ ἀλληλούϊα. ἐν δευτέρᾳ ἢ τετράδι, ἢ παρασκευῇ. κεφάλ. ε΄.

Περὶ τῆς ἀποδόσεως τῆς ἑορτῆς τῆς εἰσόδου τῆς θεοτόκου εἰ τύχῃ ἐν κυριακῇ. κεφάλαιον, ς΄.

Περὶ τῶν τροπαρίων καὶ κοντακίων τῶν προεορτίων τῶν Χριστοῦ γεννῶν. κεφ. ζ΄.

Περὶ τῆς πρὸ τῆς Χριστοῦ γεννήσεως κυριακῆς, εἰ τύχῃ τῇ, κδ΄. τοῦ δεκεμβρίου μηνός. κεφάλαιον, η΄.

Περὶ τῆς ἑορτῆς τῶν Χριστοῦ γεννῶν, εἰ τύχῃ ἐν κυριακῇ, πῶς ψάλλεται ἡ κυριακή, ἡ μετὰ τὴν Χριστοῦ γέννησιν ἐν τῇ, κς΄, τοῦ δεκεμβρίου μηνός. κεφάλ. θ΄.

Περὶ τῆς ἀποδόσεως τῆς ἑορτῆς τῶν Χριστοῦ γεννῶν, εἰ τύχῃ ἐν κυριακῇ. κε. ι΄.

Μηνὶ ἰαννουαρίῳ, α΄. Περὶ τῆς ἑορτῆς τῆς περιτομῆς, καὶ τοῦ μεγάλου Βασιλείου, εἰ τύχωσιν ἐν κυριακῇ. κε. ια΄.

Τῷ αὐτῷ μηνί, β΄. Περὶ τῶν προεορτίων τῶν φώτων, τοῦ τροπαρίου καὶ τοῦ κοντακίου. κεφάλαιον, ιβ΄.

Μηνὶ φεβρουαρίῳ, β΄. Περὶ τῆς ἑορτῆς τῆς ὑπαπαντῆς, εἰ τύχῃ ἐν κυριακῇ τοῦ φαρισαίου, ἢ τοῦ ἀσώτου, ἢ τῆς ἀποκρέου, ἢ τῆς τυρινῆς. κεφά. ιγ΄.

Περὶ τῆς ἑορτῆς, τῆς ὑπαπαντῆς, πότε ἀποδίδοται, εἰ τύχῃ τῆς ἑβδομάδος τῆς ἀποκρέου, ἢ τῆς τυρινῆς. κεφ. ιδ΄.

Περὶ τῆς ὑπαπαντῆς εἰ τύχῃ τῶν ψυχῶν, ἢ μεθέορτα, ἢ ἡ ἀπόδοσις αὐτῆς. κεφάλαιον, ιε΄.

Περὶ τῆς ὑπαπαντῆς εἰ τύχῃ, τῇ ἑβδομάδι τῆς τυρινῆς. κεφάλαιον, ις΄.

Περὶ τῶν μεθεόρτων τῆς ὑπαπαντῆς, εἰ τύχωσιν ἐν τῇ ἑβδομάδι τῆς τυρινῆς. κεφάλαιον ιζ΄.

Περὶ τῆς ἑορτῆς τῆς ὑπαπαντῆς, εἰ τύχῃ τῷ σαββάτῳ τῆς τυρινῆς. κεφ. ιη΄.

Περὶ τῆς ἀποδόσεως τῆς ὑπαπαντῆς, εἰ τύχῃ τῇ ἑβδομάδι τῆς τυρινῆς. κε. ιθ΄.

Περὶ τῆς ἀποδόσεως τῆς ὑπαπαντῆς, εἰ τύχῃ σαββάτῳ τῆς τυρινῆς. κεφ. κ΄.

Μηνὶ φεβρουαρίῳ, κδ΄. Περὶ τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου, εἰ τύχῃ τῇ κυριακῇ τοῦ τελώνου καὶ τοῦ φαρισαίου. ἢ τοῦ ἀσώτου. ἢ τῆς τυρινῆς. κεφάλαιον, κα΄.

Περὶ τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου εἰ τύχῃ τῇ ἑβδομάδι τῆς τυρινῆς. κεφά. κβ΄.

Περὶ τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου, εἰ τύχῃ τῷ σαββάτῳ τῶν ψυχῶν. κεφάλ. κγ΄.

Περὶ τῆς εὑρέσεως τῆς κεφαλῆς τοῦ προδρόμου, εἰ τύχῃ τῷ σαββάτῳ τῆς τυροφάγου. κεφάλαιον, κδ΄.

Περὶ τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου, εἰ τύχῃ τῇ πρώ-

τῃ ἑβδο-

τῇ ἑβδομάδι τῆς ἁγίας τεσσαρακοστῆς, κεφάλαιον, κε.

Περὶ τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου, ἐτύχη τὸ πρῶτον σάββατον τῶν νηστειῶν. κε. κϛ΄.

Περὶ τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου, ἐτύχη, τῇ, α΄, κυριακῇ τῶν ἁγίων νηστειῶν. κεφάλ. κζ΄.

Περὶ τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου, ἐτύχη τῇ κυριακῇ τῆς σταυροῦ προσκυνήσεως. κε. κη΄.

Περὶ τῆς μνήμης τῶν ἁγίων τεσσαράκοντα μαρτύρων, ἐτύχη τῷ, α΄, σάββατον ἢ τῇ πρώτῃ, ἢ τῇ, γ΄, κυριακῇ τῶν ἁγίων νηστειῶν. κεφάλαιον, κθ΄.

Περὶ τῆς μνήμης τῶν ἁγίων τεσσαράκοντα μαρτύρων, ἐτύχη τῷ σαββάτῳ, τῆς ἀκαθίστου. κεφάλ. λ΄.

Μηνὶ μαρτίῳ κε. Περὶ τῆς ἑορτῆς τοῦ εὐαγγελισμοῦ. ἐτύχη τῇ, γ΄, κυριακῇ τῶν νηστειῶν. κεφάλ. λα΄.

Περὶ τοῦ εὐαγγελισμοῦ, ἐτύχη τῇ, δ΄, τῆς μέσης ἑβδομάδος. κεφ. λβ΄.

Περὶ τοῦ εὐαγγελισμοῦ, ἐτύχη τῇ, ε΄, τοῦ μεγάλου κανόνος. κεφ. λγ΄.

Περὶ τοῦ εὐαγγελισμοῦ, ἐτύχη τῷ σαββάτῳ τῆς ἀκαθίστου. κεφ. λδ΄.

Περὶ τῆς ἀποδόσεως τοῦ εὐαγγελισμοῦ ἐτύχη τῇ πέμπτῃ κυριακῇ τῶν ἁγίων νηστειῶν. κεφάλαιον, λε΄.

Περὶ τοῦ εὐαγγελισμοῦ. ἐτύχη τῷ σαββάτῳ τοῦ ἁγίου καὶ δικαίου λαζάρου. κεφάλαιον. λϛ΄.

Περὶ τῆς ἑορτῆς τοῦ εὐαγγελισμοῦ, ἐτύχη τῇ κυριακῇ τῶν βαΐων. κεφ. λζ΄.

Περὶ τῆς ἑορτῆς τοῦ εὐαγγελισμοῦ ἐτύχη τῇ ἁγίᾳ καὶ μεγάλῃ δευτέρᾳ. Κεφάλαιον, λη΄.

Περὶ τῆς ἑορτῆς τοῦ εὐαγγελισμοῦ, ἐτύχη τῇ ἁγίᾳ καὶ μεγάλῃ τρίτῃ. κε. λθ΄.

Περὶ τῆς ἑορτῆς τοῦ εὐαγγελισμοῦ ἐτύχη τῇ ἁγίᾳ καὶ μεγάλῃ τετράδι. κεφάλαιον, μ΄.

Περὶ τῆς ἑορτῆς τοῦ εὐαγγελισμοῦ ἐτύχη τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ. κε. μα΄.

Περὶ τῆς ἑορτῆς τοῦ εὐαγγελισμοῦ, ἐτύχη τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ, Κεφάλαιον, μβ΄.

Περὶ τῆς ἑορτῆς τοῦ εὐαγγελισμοῦ ἐτύχη τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ. Κεφάλαιον. μγ΄.

Περὶ τῆς ἑορτῆς τοῦ εὐαγγελισμοῦ, ἐτύχη τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ πάσχα. Κεφάλαιον, μδ΄.

Περὶ τῆς ἑορτῆς τοῦ εὐαγγελισμοῦ, ἐτύχη τῇ δευτέρᾳ ἢ τῇ τρίτῃ, τῆς διακαινησίμου. Κεφάλαιον, με΄.

Μηνὶ ἀπριλλίῳ, κγ΄. Περὶ τῆς μνήμης τοῦ ἁγίου μεγαλομάρτυρος καὶ τροπαιοφόρου γεωργίου, ἐτύχη τῇ ἑβδομάδι τῆς διακαινησίμου. Κεφ. μϛ΄.

Περὶ τῆς μνήμης τοῦ ἁγίου γεωργίου, ἐτύχη τῇ κυριακῇ τοῦ θωμᾶ. Κε. μζ΄.

Περὶ τῆς μνήμης τοῦ ἁγίου γεωργίου, ἐτύχη τῇ κυριακῇ τῶν μυροφόρων, ἢ τοῦ παραλύτου, ἢ τῆς σαμαρείτιδος, ἢ τοῦ τυφλοῦ. Κεφάλ. μη΄.

Περὶ τῆς μνήμης τοῦ ἁγίου μεγαλομάρτυρος γεωργίου, ἐτύχη ἐν τῇ μεσοπεντηκοστῇ. Κεφάλ. μθ΄.

Περὶ τῆς μνήμης τοῦ ἁγίου μεγαλομάρτυρος γεωργίου, ἐτύχη τῇ κυριακῇ τῆς σαμαρείτιδος. Κεφα. ν΄.

Μηνὶ μαΐῳ, η΄. Περὶ τῆς ἑορτῆς τοῦ ἁγίου ἰωάννου καὶ εὐαγγελιστοῦ τοῦ θεολόγου, ἐτύχη τῇ κυριακῇ τῶν μυροφόρων. ἢ τοῦ παραλύτου. ἢ τῆς σαμαρείτιδος. ἢ τοῦ τυφλοῦ. Κε. να΄.

Περὶ τῆς ἑορτῆς, τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ ἰωάννου τοῦ θεολό-